FRAGMENTO

ANTISTHENIS

FRAGMENTA.

EX OFFICINA ZÜRCHERI ET FURRERI.

ANTISTHENIS

FRAGMENTA.

NUNC PRIMUM

COLLEGIT ET EDIDIT

AUG. GUILIELMUS WINCKELMANN.

TURICI

IMPENSIS MEYERI ET ZELLERI.

1842.

PRAEFATIO.

Rogatus a Walzio ut antiquitatis encyclopaediae, quae Stutgardiae prodit, commentationes ad historiam antiquae philosophiae pertinentes insererem cum nuper coepissem quae in scriniis meis de ea re collecta haberem perlustrare, in primis Socratis doctrina animum advertit. De qua postquam intellexi homines eruditos in diversas partes abire neque prius iudicium integrum ferri posse nisi undique conquisitis et in unum collectis Socraticorum fragmentis, ipse rem alacri animo aggressus nunc horum studiorum curiosis Antisthenis fragmenta propono, ut quam gravem fecimus iacturam deperditis libris Pha-

niae Dioclis Oenomai Hermippi Hecatonis Sosicratis Theopompi aliorum, qui de Antisthene et Socraticis egerunt, aliquatenus resarcire liceat. Neque inutile negotium suscepisse mihi videbor, si quid ad rectius ex ipsis fontibus cognoscendam Socraticam philosophiam contulero.

Scribebam TURICI IV. Idus Apriles a. MDCCCXLII.

De Antisthenis vita pauca veteres scriptores literis consignaverunt. Patre natus est Atheniensi sed matre Thressa[1]). Clem. Alexandr. Strom. I. p. 354. Pott. Ἀντισθένης δὲ Φρὺξ ἦν καὶ Ὀρφεὺς Ὀδρύσης ἢ Θρᾷξ memoria lapsus Antisthenem cum Diogene[2]), Eustathius autem ad Homeri Il. ζ' p. 495. (637) ἐντεῦθεν καὶ ὁ Κυνικὸς Ἀντισθένης χρησάμενος πρὸς τὸν ἀνακρίνοντα τὸ γένος αὐτοῦ, εἰπών, ὡς ἐμὸς πατὴρ μὲν ἦν τῷ ἀγκῶνι ἀπομυσσόμενος ἢ γοῦν ταριχέμπορος καὶ τὰ ἑξῆς ἐπάγει τὸ

ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.

cum Bione Borysthenita videtur confudisse. Iuvenis pugnae ad Tanagram commissae interfuit, tum primum audivit Gorgiam, postea vero totum se tradidit Socrati, a quo fere nunquam discessit[3]) et morienti affuit, ipso Platone Phaed. p. 59. B. testante, cujus necis auctoribus vehementissime succensuit[4]). Floruit autem Ol. CIII. 3. 366 secundum Diod. Sicul. XV, 76. ὑπῆρξαν κατὰ τούτους τοὺς χρόνους ἄνδρες ἄξιοι μνήμης Ἰσοκράτης τε ὁ ῥήτωρ — καὶ

---

1) Diog. Laert. VI. 1.

2) Aelian V. H. 2, 31.

3) Xen. Memor. III. 11, 17. Conv. IV. 44. VIII. 4. 5.

4) Diog. Laert. VI. 10.

Ἀριστοτέλης ὁ φιλόσοφος, ἔτι δὲ Ἀναξιμένης ὁ Λαμψακηνὸς καὶ Πλάτων ὁ Ἀθηναῖος· ἔτι δὲ τῶν Πυθαγορικῶν φιλοσόφων οἱ τελευταῖοι Ξενοφῶν τε. ἐσχατογήρως ὤν, Ἀρίστιππός τε καὶ Ἀντισθένης, πρὸς δὲ τούτοις Αἰσχίνης ὁ Σφήττιος ὁ Σωκρατικός. Mortuus est Athenis septuagenarius, teste Eudocia p. 56, ἀῤῥωστίᾳ [1].

Antisthenes docuit in gymnasio Cynosarge haud longe a porta et Cynicam sectam condidit. Suidas s. v. οὗτος οὖν καὶ τῆς Κυνικῆς κατήρξατο φιλοσοφίας ἥτις οὕτως ἐκλήθη διὰ τὸ ἐν Κυνοσάργει τῷ γυμνασίῳ διδάξαι αὐτόν. καὶ Διογένους δὲ καθηγητὴς γέγονε τοῦ κυνὸς καὶ τῶν λοιπῶν. Diog. Laert. VI. 13. διελέγετο δ' ἐν Κυνοσάργει γυμνασίῳ μικρὸν ἄποθεν τῶν πυλῶν· ὅθεν τινὲς καὶ τὴν κυνικὴν ἐντεῦθεν ὀνομασθῆναι. αὐτός τε ἐπεκαλεῖτο Ἁπλοκύων. καὶ πρῶτος ἐδίπλωσε τὸν τρίβωνα, καθά φησι Διοκλῆς, καὶ μόνῳ αὐτῷ [2] ἐχρῆτο· βάκτρον [3] τε ἀνέλαβε καὶ πήραν. Plut. vit. Brut. c. 34. de Cynico Favonio: ἐφ' οἷς ὁ μὲν Κάσσιος ἐγέλασεν, ὁ δὲ Βροῦτος ἐξέβαλεν αὐτὸν ἁπλόκυνα καὶ ψευδόκυνα προσαγορεύων. ubi v. Coraes. Conf. I. Chr. Kühn diss. de Cynosarge gymnasio apud Athenienses olim celebri Lips. 1742. p. XIV sq. Quatuor illius appellationis causas attulit Schol. ad Aristotel. p. 23. Brandis. Κυνικοὶ δὲ ἐκλήθησαν διὰ τέσσαρας αἰτίας· ἢ γὰρ διὰ τὸ ἀδιάφορον τῆς ζωῆς, ἐπειδὴ καὶ αὐτοὶ ἀδια-

---

[1]) Diog. Laert. VI. 18.

[2]) Lucian. Fugit. c. 21. Wyttenbach. ad Plut. de sent. prof. in virt. p. 82. B.

[3]) ib. Dial. Mort. 3.

φορίαν ἐπετήδευον, ὡς οἱ κύνες, δημοσίᾳ ἐσθίειν καὶ ἀφροδισιάζεσθαι καὶ ἀνυπόδετοι περιπατεῖν καὶ ἐν πίθοις καὶ ἐν τριόδοις καθεύδειν. τοῦτο δὲ ἐποίουν τοῦ φύσει καλοῦ ὀρεγόμενοι· ἔλεγον γὰρ ὅτι εἰ ἀγαθόν ἐστι, δεῖ κοινῇ καὶ ἰδίᾳ πράττεσθαι. ἢ οὐκ ἔστιν ἀγαθόν, καὶ οὔτε κοινῇ οὔτε ἰδίᾳ διαπρακτέον· οὐ γὰρ ἦν παρ' αὐτοῖς (Od. XI. 443.)

τὸ μὲν φάσθαι, τὸ δὲ καὶ κεκρυμμένον εἶναι,

ἀλλ' ἦν παρ' αὐτοῖς τὸ (Il. VII. 196.)

εἰπὲ καὶ ἀμφαδίην, ἐπεὶ οὔ τινα δείδια ἔμπης

αὕτη πρώτη αἰτία. δευτέρα αἰτία ὅτι ἀναιδὲς ζῷον ὁ κύων, ἐπετήδευον δὲ καὶ αὐτοὶ τὴν ἀναίδειαν, οὐ τὴν χείρονα τῆς αἰδοῦς ἀλλὰ τὴν κρείττονα· διττὴ γὰρ ἡ ἀναίδεια, ἡ μὲν κρείττων τῆς αἰδοῦς ἡ δὲ χείρων, ἥ τε ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησι· ταύτην οὖν τὴν ἀναίδειαν ἐπετήδευον τὴν κρείττονα αἰδοῦς, οἷον ὑλακτοῦντες κατὰ τῶν ἀλλοτρίων τῆς αὐτῶν φιλοσοφίας. τρίτη αἰτία ὅτι φρουρητικὸν ζῷον ὁ κύων· ἐφρούρουν δὲ καὶ αὐτοὶ τὰ δόγματα τῆς φιλοσοφίας διὰ τῶν ἀποδείξεων καὶ μέγα ἐφρόνουν ἐπὶ τούτῳ· φαίη γὰρ ἂν ἡ τύχη πρὸς Ἀντισθένην τὸν προστάτην τῆς αἱρέσεως ταύτης οὕτως (Il. VIII. 297.)

ἐννέα δὴ προέηκα τανυγλώχινας ὀϊστούς,
τοῦτον δ' οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα,

ὅτι, φησί, τοσαύτας αὐτῷ συμφορὰς ἐπήγαγον καὶ οὐκ ἠδυνήθην αὐτοῦ καταβαλεῖν τὸ φρόνημα. αὕτη καὶ ἡ τρίτη αἰτία. τετάρτη δὲ ὅτι διακριτικὸν ζῷον ὁ κύων γνώσει καὶ ἀγνοίᾳ τὸν φίλον καὶ τὸν ἀλλότριον ὁρίζον· ὃν γὰρ γιγνώσκει, νομίζει φίλον εἶναι καὶ εἰ

ῥόπαλον ἐπιφέροιτο, ὃν δὲ ἀγνοεῖ, ἐχθρὸν καὶ εἰ δέλεαρ ἐπιφερόμενος εἴη. οὕτως οὖν καὶ οὗτοι τοὺς μὲν ἐπιτηδείους πρὸς φιλοσοφίαν φίλους ἐνόμιζον καὶ εὐμενεῖς ἐδέχοντο, τοὺς δὲ ἀνεπιτηδείους ἀπήλαυνον δίκην κυνῶν κατ' αὐτῶν ὑλακτοῦντες. διὸ καὶ Πλάτων ἐν Γοργίᾳ φησὶν ὅτι ἔχει τινὰ σοφίαν ὁ κύων διακρίνειν φίλον ἀπὸ ἐχθροῦ. καὶ τὸ διακρίνειν δὲ ἀλήθειαν καὶ ψεῦδος μόνου φιλοσόφου. οὕτως καὶ ὁ πέμπτος τρόπος. Philoponus ib. p. 35. ὥσπερ οἱ Κυνικοὶ φιλόσοφοι οἵτινες κύνες ὠνομάζοντο διὰ τὸ παρρησιαστικόν τε καὶ ἐλεγκτικόν. ὥσπερ γὰρ ὁ κύων ἔχει τὸ διακριτικὸν τῶν οἰκείων ἀπὸ τῶν ἀλλοτρίων, οὕτω καὶ οὗτοι οἱ φιλόσοφοι ἐποίουν, καὶ τοὺς μὲν ἀξίους φιλοσόφους ἐδέχοντο, τοὺς δὲ ἀναξίους τῆς φιλοσοφίας καὶ μὴ δυναμένους ἐντὸς γίνεσθαι φιλοσόφων λόγων ἐδίωκον. διὰ τὸ οὖν παρρησιαστικὸν καὶ τὸ διακρίνειν αὐτοὺς τούς τε δυναμένους καὶ μὴ δυναμένους δέξασθαι φιλοσοφίας λόγους, τούτου ἕνεκα Κυνικοὶ ὠνομάζοντο. ὅθεν καὶ ὁ Πλάτων ἔφη „ἔχει δέ τι καὶ ὁ κύων φιλόσοφον" οὕτω καὶ οἱ Κυνικοὶ φιλόσοφοι ἀνυποστάλτως ἐλευθεριάζοντες ἔκρινόν τε καὶ διήλεγχον τά τε ὀρθῶς καὶ τὰ μὴ οὕτως ἔχοντα. Cicero de orat. III. 17, 62. ac primo ab ipso Platone Aristoteles et Xenocrates, quorum alter Peripateticorum alter Academiae nomen obtinuit, deinde ab Antisthene, qui patientiam et duritiam in Socratico sermone maxime adamarat, Cynici primum, deinde Stoici, tum ab Aristippo quem illae magis voluptariae disputationes delectarant, Cyrenaica philosophia manavit.

De ANTISTHENIS imaginibus exposuit Gurlitt. archaeol. script. p. 251 sq.

Antisthenis libri vehementer veteribus placuerunt fueruntque qui eius stilum pro sincerae ac purae Atticae orationis norma haberent [1]). Unum ex omnibus Socraticis Antisthenem laudavit Theopompus, qui eo audaciae processit, ut Platonem multa e Brysonis et Antisthenis dialogis suffuratum esse criminaretur. Diog. Laert. VI. 14. *τοῦτον μόνον ἐκ πάντων Σωκρατικῶν Θεόπομπος ἐπαινεῖ καί φησι δεινόν τε εἶναι καὶ δι' ὁμιλίας ἐμμελοῦς ὑπαγαγέσθαι πάνθ' ὁντινοῦν* [2]). Athen. XI. 508. C. *καὶ γὰρ Θεόπομπος ὁ Χῖος ἐν τῷ κατὰ τῆς Πλάτωνος διατριβῆς „Τοὺς πολλοὺς (φησὶ) τῶν διαλόγων αὐτοῦ ἀχρείους καὶ ψευδεῖς ἄν τις εὕροι" ἀλλοτρίους δὲ τοὺς πλείους ὄντας ἐκ τῶν Ἀριστίππου διατριβῶν, ἐνίους δὲ κἀκ τῶν Ἀντισθένους, πολλοὺς δὲ κἀκ τῶν Βρύσωνος τοῦ Ἡρακλεώτου.* Etiam gravius crimen Aeschini obiecit Persaeus ap. Diog. Laert. II. 61. *καὶ τῶν ἑπτὰ δὲ τοὺς πλείστους Περσαῖός φησι Πασιφῶντος εἶναι τοῦ Ἐρετρικοῦ, εἰς τοὺς Αἰσχίνου δὲ κατατάξαι. Ἀλλὰ καὶ τὸν Ἀντισθένους τόν τε μικρὸν Κῦρον καὶ τὸν Ἡρακλέα τὸν ἐλάσσω καὶ Ἀλκιβιάδην καὶ τοὺς τῶν ἄλλων δὲ ἐσκευώρηται.* Panaetius ap. Diog. Laert. II. 64. (coll. 85) quin Platonis Xenophontis Aeschinis et Antisthenis dialogi genuini sint, non dubitavit, de Phaedonis et Euclidis ambigit, ceteros omnes damnat.

---

1) Phryn. ap. Phot. bibl. p. 326. Zenon. ap. Diog. Laert. VII. 19. 31. Dionys. Halic. de Thucyd. iud. p. 206. Luc. adv. indoct. c. 27. Epictet. Diss. II. 17, 35. Frontonis epist. ad Verum p. 173. de eloq. p. 229. ed. Mai. II.

2) Xen. Conv. IV. 61. Plut. symp. quaest. II. 1. 6.

ANTISTHENIS librorum indicem sed errorum plenum exhibet Diog. Laert. VI. 15. hunc: φέρονται δ' αὐτοῦ συγγράμματα τόμοι δέκα·

πρῶτος [1]) ἐν ᾧ περὶ λέξεως ἢ περὶ χαρακτήρων, Αἴας ἢ Αἴαντος λόγος, Ὀδυσσεὺς ἢ περὶ Ὀδυσσέως [2]), Ὀρέστου Ἀπολογία ἢ περὶ τῶν δικογράφων, Ἰσογραφὴ ἢ Λυσίας καὶ Ἰσοκράτης [3]) πρὸς τὸν Ἰσοκράτους Ἀμάρτυρον.

τόμος δεύτερος, ἐν ᾧ περὶ ζώων φύσεως, περὶ

---

[1]) Aliter Suidas s. v. οὗτος συνέγραψε τόμους δέκα· πρῶτον Μαγικόν· ἀφηγεῖται δὲ περὶ Ζωροάστρου τινὸς μάγου, εὑρόντος τὴν σοφίαν. τοῦτο δέ τινες Ἀριστοτέλει, οἱ δὲ Ῥόδωνι ἀνατιθέασι. Sed recte videtur statuere Ionsius librum esse Antisthenis Rhodii, cuius meminit Diog. Laert. VI. 1, 19. Vossius eum esse dicit, qui τῶν φιλοσόφων διαδοχὰς scripsit et qui a Plinio XXXVI. 12. inter eos recensetur, qui de Pyramidibus Aegyptiacis scripserunt. Antisthenis cuiusdam tertium librum Meleagridos memorat Plut. de fluviis T. XIV. p. 469. Hutten. Alii alibi memorantur, v. Aristoph. Eccles. v. 336. 806. Xen. Memor. III. 4. Bergk. de ant. com. p. 86 sq.

[2]) Has duas declamationes Antistheni abiudicat Foss. de Gorgia p. 94. Ceterum Casaubonus ὑπὲρ Ὀδυσσέως, Menagius περὶ Ὀδυσσείας mavolt.

[3]) Ita edidit Hübnerus e coniectura Wyttenbachii ad Plut. Moral. p. 390. ed. Oxon. Vulgo legebatur Ἰσογραφὴ ἢ Δεσίας ἢ Ἰσοκράτης. Infra cum corrupta sint verba περὶ νίκης οἰκονομικός, malim hic scribere ἀντιγραφή. Λυσίας ἢ Ἰσοκράτης πρὸς τὸν Ἰσοκράτους Ἀμάρτυρον ὑπὲρ Νικίου Isocrat. Panegyr. §. 188. τοὺς δὲ τῶν λόγων ἀμφισβητοῦντας πρὸς μὲν τὴν παρακαταθήκην καὶ περὶ τῶν ἄλλων ὧν νῦν φλυαροῦσι. Inter Speusippi dialogos memoratur a Diog. Laert. IV. 5. πρὸς τὸν Ἀμάρτυρον. Πλάτωνος ἐγκώμιον. Vide Westermanni hist. eloq. gr. I. p. 291. Saepe confundi ἰσο et ἀντὶ in libris, docuerunt Hermann ad Eur. Hecub. vs. 1154 et Reisig. Enarr. Soph. Oed. Col. p. LIII.

παιδοποιίας ἢ περὶ γάμου ἐρωτικός, περὶ των σοφιστῶν φυσιογνωμονικός, περὶ δικαιοσύνης καὶ ἀνδρείας προτρεπτικὸς πρῶτος, δεύτερος, τρίτος, περὶ Θεόγνιδος δ', ε' [1]).

τόμος τρίτος, ἐν ᾧ περὶ ἀγαθοῦ, περὶ ἀνδρείας [2]) περὶ νόμου ἢ περὶ πολιτείας, περὶ νόμου ἢ περὶ καλοῦ καὶ δικαίου, περὶ ἐλευθερίας καὶ δουλείας, περὶ πίστεως ἢ [3]) περὶ ἐπιτρόπου, περὶ τοῦ πείθεσθαι, περὶ νίκης οἰκονομικός.

τόμος τέταρτος, ἐν ᾧ Κῦρος, Ἡρακλῆς ὁ μείζων ἢ περὶ ἰσχύος.

τόμος πέμπτος, ἐν ᾧ Κῦρος ἢ περὶ βασιλείας, Ἀσπασία.

τόμος ἕκτος, ἐν ᾧ Ἀλήθεια, περὶ τοῦ διαλέγεσθαι ἀντιλογικός, Σάθων ἢ περὶ τοῦ ἀντιλέγειν α', β', γ', περὶ διαλέκτου.

τόμος ἕβδομος, ἐν ᾧ περὶ παιδείας ἢ ὀνομάτων α', β', γ', δ', ε', περὶ ὀνομάτων χρήσεως ἢ ἐριστικός, περὶ ἐρωτήσεως καὶ ἀποκρίσεως, περὶ δόξης καὶ ἐπιστήμης α', β', γ', δ', περὶ τοῦ ἀποθανεῖν, περὶ ζωῆς καὶ θανάτου [4]) περὶ τῶν ἐν ᾅδου, ἐρώτημα περὶ φύσεως α', β' [5]), δόξαι ἢ ἐριστικός, περὶ τοῦ μανθάνειν προβλήματα.

---

[1]) v. Welker. p. XLIX.

[2]) recte om. περὶ — ἀνδρείας Ambros.

[3]) ἢ quod volgo post ἐπιτρόπου legebatur ex Ambrosio hic inserui.

[4]) verba τοῦ — θανάτου Huebnerus hic posuit, quae vulgo legebantur ante περὶ ὀνομάτων.

[5]) Ita auctore C. F. Hermanno (Zimmerm. diurn. antiq. 1834. p. 103) dedi e cod. Cantabr. et Arund. Vulgo περὶ φύσεως α', β', ἐρώτημα περὶ φύσεως β'.

τόμος ὄγδοος, ἐν ᾧ περὶ μουσικῆς, περὶ ἐξηγητῶν, περὶ Ὁμήρου, περὶ ἀδικίας καὶ ἀσεβείας, περὶ Κάλχαντος, περὶ κατασκόπου [1], περὶ ἡδονῆς.

τόμος ἔνατος, ἐν ᾧ περὶ Ὀδυσσείας, περὶ τῆς ῥάβδου, Ἀθηνᾶ [2] ἢ περὶ Τηλεμάχου, περὶ Ἑλένης καὶ Πηνελόπης, περὶ Πρωτέως, Κύκλωψ ἢ περὶ Ὀδυσσέως, περὶ οἴνου χρήσεως ἢ περὶ μέθης ἢ περὶ τοῦ Κύκλωπος, περὶ Κίρκης, περὶ Ἀμφιαράου, περὶ τοῦ Ὀδυσσέως καὶ Πηνελόπης καὶ περὶ τοῦ κυνός.

τόμος δέκατος, ἐν ᾧ Ἡρακλῆς ἢ Μίδας, Ἡρακλῆς ἢ περὶ φρονήσεως ἢ ἰσχύος, κύριος [3] ἢ ἐρώμενος, κύριοι ἢ κατάσκοποι, Μενέξενος ἢ περὶ τοῦ ἄρχειν, Ἀλκιβιάδης, Ἀρχέλαος ἢ περὶ βασιλείας.

καὶ ταῦτα μέν ἐστιν ἃ συνέγραψεν. ὁ Τίμων δὲ διὰ τὸ πλῆθος ἐπιτιμῶν αὐτῷ παντοφυῆ φλέδονά φησιν αὐτόν.

---

1) F. τερατοσκόπου.

2) Ambrosius περὶ τῆς ῥάβδου Ἀθηνᾶς.

3) Conieci ad Plut. Erotic. p. 97. scribendum esse Κύρνος.

FRAGMENTA.

I. ΗΡΑΚΛΗΣ.

I.

Diog. Laert. VI. 9. §. 104. ἀρέσκει δ' αὐτοῖς καὶ τέλος εἶναι τὸ κατ' ἀρετὴν ζῆν, ὡς Ἀντισθένης φησὶν ἐν τῷ Ἡρακλεῖ.

II.

Ibid. §. 105. ἀρέσκει δὲ αὐτοῖς καὶ τὴν ἀρετὴν διδακτὴν εἶναι, καθά φησιν Ἀντισθένης ἐν τῷ Ἡρακλεῖ, καὶ ἀναπόβλητον ὑπάρχειν· ἀξιέραστόν τε τὸν σοφὸν καὶ ἀναμάρτητον καὶ φίλον τῷ ὁμοίῳ, τύχῃ τε μηδὲν ἐπιτρέπειν. Ibid. VI. 1. §. 12. τῷ γὰρ σοφῷ ξένον οὐδὲν οὐδ' ἄπορον [1]). ἀξιέραστος ὁ ἀγαθός· οἱ σπουδαῖοι φίλοι· συμμάχους ποιεῖσθαι τοὺς εὐψύχους ἅμα καὶ δικαίους· ἀναφαίρετον ὅπλον ἀρετή. Xen. Conv. II. 12. 13.

---

[1]) Ita Stephanus pro ἄπο, Kuehnius ἄτοπον.

III.

Plutarch. de vitioso pudore T. VII. p. 121. (536 Reisk. οὕτως ἀνάτρεπτος ἦν καὶ ἀνάλωτος ὑπὸ τῶι τοιούτων καὶ κρατῶν ἐκείνης τῆς παραινέσεως, ἣν ὁ Ἀντισθένιος Ἡρακλῆς παρήνει τοῖς παισὶ διακελευόμενος μηδενὶ χάριν ἔχειν ἐπαινοῦντι αὐτούς. τοῦτο δ' οὐδὲν ἄλλο ἢ μὴ δυσωπεῖσθαι, μηδ' ἀντικολακεύειν τῷ ἐπαινοῦντι.

IV.

Eratosthenes Catasterism. c. 40. p. 30. ed. Schaubach. οὗτος δοκεῖ Χείρων εἶναι, ὁ ἐν τῷ Πηλίῳ οἰκήσας δικαιοσύνῃ δὲ ὑπερενέγκας πάντας ἀνθρώπους καὶ παιδεύσας Ἀσκληπιόν τε καὶ Ἀχιλλέα. ἐφ' ὃν Ἡρακλῆς δοκεῖ ἐλθεῖν δι' ἔρωτα (παιδείας addit Koppiers), ᾧ καὶ συνεῖναι ἐν τῷ ἄντρῳ, τιμῶν τὸν Πᾶνα[1]. μόνον δὲ τὸν Κένταυρον οὐκ ἀνεῖλεν, ἀλλ' ἤκουεν αὐτοῦ, καθάπερ Ἀντισθένης φησὶν ὁ Σωκρατικὸς ἐν τῷ Ἡρακλεῖ. Eudocia p. 437.

V.

Proclus in Plat. Alcib. Comment. p. 98. Vol. I. Kreuzer. λέγει οὖν καὶ ὁ Ἀντισθένους Ἡρακλῆς περί τινος νεανίσκου παρὰ τῷ Χείρωνι τρεφομένου· μέγας γάρ φησι καὶ καλὸς καὶ ὡραῖος, οὐκ ἂν αὐτοῦ ἠράσθη δειλὸς ἐραστής.

Cf. Cyrus IV.

---

[1]) τὸν Ἄτλαντα malim. Vide Plut. de EI. ap. Delph. c. 6. p. 224. Hutten.

II. ΚΥΡΟΣ.

Quanti sit habitus is liber a veteribus, cognoscimus e Ciceronis epist. ad Atticum XII. 38 extr.: Κῦρος δ, ε [1]) mihi sic placuit, ut cetera Antisthenis, hominis acuti magis quam eruditi. et Phrynich. Arab. appar. orat. ap. Phot. CLVIII. p. 326. εἰλικρινοῦς δὲ καὶ καθαροῦ καὶ Ἀττικοῦ λόγου κανόνας καὶ στάθμας, καὶ παράδειγμά φησιν ἄριστον Πλάτωνά τε καὶ Δημοσθένην Κριτίαν τε τοῦ Καλλαίσχρου καὶ Ἀντισθένην μετὰ τῶν γνησίων αὐτοῦ δύο λόγων, τοῦ περὶ Κύρου καὶ τοῦ περὶ Ὀδυσσῆ (Ὀδυσσείας).

I.

Athenaeus V. p. 220. C. Ἀντισθένης δ' ἐν θατέρῳ τῶν Κύρων κακολογῶν Ἀλκιβιάδην καὶ παράνομον εἶναι λέγει καὶ εἰς γυναῖκας καὶ εἰς τὴν ἄλλην δίαιταν. συνεῖναι γάρ φησιν αὐτὸν καὶ μητρὶ καὶ θυγατρὶ καὶ ἀδελφῇ, ὡς Πέρσας. Eustath. Hom. Odyss. κ. p. 378. (1645, 11.) Ἀλκιβιάδην μέντοι παρεξηυλημένον ἐν τῷ ἄλλως βιοῦν ἐξωλέστερον ἔσκωψέ φησιν Ἀντισθένης παράνομον εἶναι — καὶ ἀδελφῇ, ὡς τοὺς Πέρσας.

* II. 2)

Athenaeus XII. p. 534. C. διὸ καὶ Ἀντισθένης ὁ Σωκρατικὸς, ὡς ἂν αὐτὸς αὐτόπτης γεγονὼς του

---

[1]) Libri KYPOCAC, KYPCAC, Κύριος mihi.

[2]) Asteriscus numero praefixus me coniectura ductum fragmento sedem assignasse indicat.

Ἀλκιβιάδου, ἰσχυρὸν αὐτὸν καὶ ἀνδρώδη καὶ ἀπαίδευτον καὶ τολμηρὸν καὶ ὡραῖον ἐφ' ἡλικίας γενέσθαι φησίν.

III.

Marcus Antoninus VII. 36: Ἀντισθενικόν· βασιλικὸν μὲν εὖ πράττειν, κακῶς δὲ ἀκούειν. Arrian. Epict. diss. IV. 5. τί οὖν λέγει Ἀντισθένης, οὐδέ ποτ' ἤκουσας, Βασιλικὸν, ὦ Κῦρε, πράττειν μὲν εὖ, κακῶς δ' ἀκούειν. Diog. Laert. VI. 3.

IV.

Diog. Laert. VI. 1. 2. καὶ ὅτι ὁ πόνος ἀγαθὸν συνέστησε διὰ τοῦ μεγάλου Ἡρακλέους καὶ τοῦ Κύρου, τὸ μὲν ἀπὸ τῶν Ἑλλήνων, τὸ δὲ ἀπὸ τῶν βαρβάρων ἑλκύσας.

* V.

Plut. vit. Alcib. init. Ἀλκιβιάδου δὲ καὶ τίτθης γένος Λάκαιναν Ἀμύκλαν ὄνομα καὶ Ζώπυρον παιδαγωγὸν ἴσμεν, ὧν τὸ μὲν Ἀντισθένης, τὸ δὲ Πλάτων ἱστόρηκεν.

* VI.

Proclus in Plat. Alcib. I. p. 114. Kreuzer. ὅτι δ' αὖ μέγας ὁ Ἀλκιβιάδης ἐγένετο καὶ καλὸς, δηλοῖ μὲν καὶ τὸ κοινὸν αὐτὸν ἐρώμενον καλεῖσθαι τῆς Ἑλλάδος ἁπάσης, δηλοῖ δὲ ὁ Ἀντισθένης εἰπὼν, ὡς εἰ μὴ τοιοῦτος ἦν ὁ Ἀχιλλεὺς, οὐκ ἄρα ἦν ὄντως καλὸς. Plenius Olympiodorus p. 28. ὅτι γὰρ καλὸς ἦν τῷ σώματι, δῆλον ἐκ τοῦ τὸν Κυνι-

κὸν Ἀντισθένην λέγειν περὶ αὐτοῦ· εἰ μὴ τοιοῦτος ἦν ὁ Ἀχιλλεὺς οὐκ ἦν ὡραῖος, περὶ οὗ φησὶν ὁ ποιητής, βουλόμενος τὸν Νιρέα εἰς κάλλος ἐπαινέσαι

Νιρεὺς ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν
τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλείωνα.

III. ΑΣΠΑΣΙΑ.

I.

Athen. V. p. 220. D. ἡ δ' Ἀσπασία τῶν Περικλέους υἱῶν Ξανθίππου καὶ Παράλου διαβολήν (sc. περιέχει). τούτων γὰρ τὸν μὲν Ἀρχεστράτου φησὶν εἶναι συμβιωτήν, τοῦ παραπλήσια ταῖς ἐπὶ τῶν μιαρῶν [1]) οἰκημάτων ἐργαζομένου, τὸν δ' Εὐφήμου συνήθη καὶ γνώριμον τοῦ φορτικὰ σκώπτοντος καὶ ψυχρὰ τοὺς συναντῶντας.

II.

Athen. XIII. p. 589. E. Ἀντισθένης δὲ ὁ Σωκρατικὸς ἐρασθέντα φησὶν αὐτὸν (Periclem) Ἀσπασίας δὶς τῆς ἡμέρας εἰσιόντα καὶ ἐξιόντα ἀπ' αὐτῆς ἀσπάζεσθαι τὴν ἄνθρωπον, καὶ φευγούσης ποτὲ αὐτῆς γραφὴν ἀσεβείας λέγων ὑπὲρ αὐτῆς

---

[1]) μιαρῶν Casaubonus. Vulgo μικρῶν. Vide Iacobs. Achill. Tat. p. 956. Huschke Anal. Crit. p. 238.

πλεῖονα ἐδάκρυσεν ἢ ὅτε ὑπὲρ τοῦ βίου καὶ τῆς οὐσίας ἐκινδύνευσε καὶ Κίμωνος δ' Ἐλπινίκῃ τῇ ἀδελφῇ παρανόμως συνόντος εἶθ' ὕστερον ἐκδοθείσης Καλλίᾳ καὶ φυγαδευθέντος μισθὸν ἔλαβε τῆς καθόδου αὐτοῦ ὁ Περικλῆς τὸ τῇ Ἐλπινίκῃ μιχθῆναι [1]).

IV. ΠΡΟΤΡΕΠΤΙΚΟΣ.

Diog. Laert. VI. 1. *οὗτος κατ' ἀρχὰς μὲν ἤκουσε Γοργίου τοῦ ῥήτορος· ὅθεν τὸ ῥητορικὸν εἶδος ἐν τοῖς διαλόγοις ἐπιφέρει, καὶ μάλιστα ἐν τῇ Ἀληθείᾳ καὶ τοῖς Προτρεπτικοῖς.*

I.

Pollux VI. 16, 98. *βομβυλιὸς δὲ τὸ στενὸν ἔκπωμα καὶ βομβοῦν ἐν τῇ πόσει, ὡς Ἀντισθένης ἐν Προτρεπτικῷ.* Ibid. X. 19, 68. *τὸ δὲ καλούμενον κυρίλλιον πρὸς τῶν Ἀσιανῶν βομβυλιὸν μὲν Ἀντισθένης εἴρηκεν ἐν τῷ Προτρεπτικῷ.* Schol. Apoll. Rhod. II. v. 571. Erotian. p. 104. Franz.

---

[1]) Cum eadem fere ex Aeschine, qui et ipse dialogum Aspasiam inscripsit, narret Plutarchus vit. Pericl. c. 32. veri haud absimilis est suspicio, utrumque nomen confudisse Athenaeum. Vide Iacobs. de hetaer. p. 393. Hemsterhus. Anecd. p. 230.

Igitur nescio an in Protreptico dixerit Antisthenes ea quae attulit Athen. XI. p. 784. C. βομβυλιός· θηρίκλειον Ῥοδιακόν. οὗ περὶ τῆς ἰδέας Σωκράτης φησὶν „οἱ μὲν ἐκ φιάλης πίνοντες ὅσον θέλουσι τάχιστ' ἀπαλλαγήσονται, οἱ δὲ ἐκ βομβυλιοῦ κατὰ μικρὸν στάζοντες.“ 1)

II.

Athen. XIV. p. 656. F. Ἀντισθένης — — καὶ ἐν Προτρεπτικῷ δὲ „ἀντὶ δελφακίων τρέφεσθαι.“

III.

Photius p. 361, 21. οὐροδόκην: τὴν ἀμίδα Ξενοφῶν· οὔρειον δὲ βίκον Ἀντισθένης.

---

1) Imitationem Gorgianae orationis prodit, ni fallor, etiam Xen. Sympos. II. 26. ην δὲ ἡμῖν οἱ παῖδες μικραῖς κύλιξι πυκνὰ ἐπιψεκάζωσιν (ἵνα καὶ ἐγὼ ἐν Γοργιείοις ῥήμασιν εἴπω) οὕτως οὐ βιαζόμενοι ὑπὸ τοῦ οἴνου μεθύειν ἀλλὰ ἀναπειθόμενοι πρὸς τὸ παιγνιωδέστερον ἀφιξόμεθα. Antisthenis Protrepticum Isocrates Helen. encom. §. 12. reprehendere videtur: τῶν μὲν γὰρ τοὺς βομβυλιοὺς καὶ τοὺς ἅλας καὶ τὰ τοιαῦτα βουληθέντων ἐπαινεῖν οὐδεὶς πώποτε λόγων ἠπόρησεν, οἱ δὲ περὶ τῶν ὁμολογουμένων ἀγαθῶν ἢ καλῶν ἢ τῶν διαφερόντων ἐπ' ἀρετῇ λέγειν ἐπιχειρήσαντες πολὺ καταδεέστερον τῶν ὑπαρχόντων ἅπαντες εἰρήκασιν. coll. §. 1. 4. 8. In Athen. III. p. 125. F. pro Ἀντιφάνης ἐν Βομβυλίῳ et IV. p. 161. E. ἐν Θομβυκίῳ corrigo Ἀντιφάνης ἐν Θορυκίῳ coll. XII. p. 553. XV. 689. E. Plut. vit. Cleom. c. 8. Meinek. histor. crit. comicorum p. 311. 317.

V. ΑΡΧΕΛΑΟΣ.

Athen. V. p. 220. D. ὁ δ' *Ἀρχέλαος Γοργίου τοῦ ῥήτορος* (sc. καταδρομὴν περιέχει).

VI. ΠΟΛΙΤΙΚΟΣ.

Athen. V. p. 220. D. ὁ δὲ *Πολιτικὸς* αὐτοῦ διάλογος ἁπάντων *καταδρομὴν* περιέχει τῶν *Ἀθήνησι δημαγωγῶν.*

VII. ΦΥΣΙΟΓΝΩΜΟΝΙΚΟΣ.

Athen. XIV. p. 656. F. *Ἀντισθένης* δ' ἐν *Φυσιογνωμονικῷ* „*καὶ γὰρ ἐκεῖναι τὰ δελφάκια πρὸς βίαν χορτάζουσιν.*"

VIII. ΦΥΣΙΚΟΣ.

I.

Cicero de nat. deor. I. 13. Atque etiam Antisthenes in eo libro, qui Physicus[1]) inscribitur, populares deos multos, naturalem unum esse dicens, tollit vim et naturam deorum. Conf. Lactant. de ira dei c. XI. Div. Instit. I. c. 5. Minuc. Felix. c. XIX.

---

1) Lambinus: Physiognomicus.

II.

Clem. Alexandr. Protrept. c. VI. §. 71. p. 61. P. *Ἀντισθένης μὲν γὰρ οὐ Κυνικὸν δὴ τοῦτο ἐνενόησεν, Σωκράτους δὲ ἅτε γνώριμος, θεὸν οὐδενὶ ἐοικέναι φησίν· διόπερ αὐτὸν οὐδεὶς ἐκμαθεῖν ἐξ εἰκόνος δύναται.* Theodoret. Gr. Affect. Curat. Disp. I. p. 713. Vol. VIII. *καὶ Ἀντισθένης — περὶ τοῦ θεοῦ τῶν ὅλων βοᾷ· ἀπὸ εἰκόνος οὐ γνωρίζεται, ὀφθαλμοῖς οὐχ ὁρᾶται, οὐδενὶ ἔοικε. διόπερ αὐτὸν οὐδεὶς ἐκμαθεῖν ἐξ εἰκόνος δύναται.*

IX. ΟΜΗΡΙΚΑ.

Iulianus Or. VII. 215. *φαίνονται πολλοὶ καὶ τῶν φιλοσόφων αὐτὴν (τὴν μυθογραφίαν) καὶ τῶν θεολόγων ποιήσαντες, ὥσπερ Ὀρφεὺς μὲν ὁ παλαιότατος ἐνθέως φιλοσοφήσας, ὀλίγοι δὲ τῶν μετ' ἐκεῖνον οὐ μὴν ἀλλὰ καὶ Ξενοφῶν καὶ Ἀντισθένης καὶ Πλάτων.* quod recte retulit Lobeck. Aglaoph. I. p. 378. ad Antisthenis commentationes Homericas. Antisthenes enim contemtis stolidis rhapsodis allegoricam Homeri carmina interpretandi rationem amplexus est. Xen. Conv. III. 6. *ἐκεῖνο δ', ἔφη ὁ Ἀντισθένης, λέληθέ σε, ὅτι καὶ οἱ ῥαψῳδοὶ πάντες ἐπίστανται ταῦτα τὰ ἔπη; καὶ πῶς ἄν, ἔφη, λελήθοι ἀκροώμενόν γε αὐτῶν ὀλίγου ἀν' ἑκάστην ἡμέραν, Οἶσθά τι οὖν ἔθνος, ἔφη,*

ἠλιθιώτερον ῥαψῳδῶν; Οὐ μὰ τὸν Δί', ἔφη ὁ Νικήρατος· οὔκουν ἔμοιγε δοκεῖ. Δῆλον γὰρ, ἔφη ὁ Σωκράτης, ὅτι τὰς ὑπονοίας οὐκ ἐπίστανται. IV. 6.

I.

Schol. in Homeri Odysseam ed. Buttmann. p. 9. ad α', 1. Ἀπορία. Πολύτροπον] οὐκ ἐπαινεῖν φησιν Ἀντισθένης Ὅμηρον τὸν Ὀδυσσέα μᾶλλον ἢ ψέγειν, λέγοντα αὐτὸν πολύτροπον· οὐκοῦν τὸν Ἀχιλλέα καὶ τὸν Αἴαντα πολυτρόπους πεποιηκέναι ἀλλ' ἁπλοῦς καὶ γεννάδας· οὐδὲ τὸν Νέστορα τὸν σοφὸν οὐ μὰ Δία δόλιον καὶ παλίμβολον τὸ ἦθος ἀλλ' ἁπλῶς τε Ἀγαμέμνονι συνόντα καὶ τοῖς ἄλλοις ἅπασι, καὶ εἰς τὸ στρατόπεδον εἴ τι ἀγαθὸν εἶχε συμβουλεύοντα καὶ οὐχ ὑποκρινόμενον [1]· τοσοῦτον ἀπεῖχε τοιοῦτον τρόπον ἀποδέχεσθαι ὁ Ἀχιλλεὺς ὡς ἐχθρὸν ἡγεῖσθαι ὁμοίως τῷ θανάτῳ ἐκεῖνον ὅς χ' ἕτερον μὲν κεύθει ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπῃ. (Il. ι', 313.)

Λύσις. Λύων[2] οὖν ὁ Ἀντισθένης φησὶ, τί οὖν, ἆρά γε πονηρὸς ὁ Ὀδυσσεὺς ὅτι πολύτροπος ἐκλήθη; καὶ μὴ διότι σοφὸς οὕτως αὐτὸν προσείρηκε; μήποτε οὖν ὁ τρόπος τὸ μέν τι σημαίνει, τὸ ἦθος, τὸ δέ τι σημαίνει, λόγου χρῆσιν; εὔτροπος γὰρ ὁ τὸ ἦθος ἔχων εἰς τὸ εὖ τετραμμένον· τρόπου δὲ λόγου αἴτιαι [3]) αἱ πλάσεις. κέχρηται τῷ τρόπῳ καὶ ἐπὶ φωνῆς καὶ ἐπὶ

---

[1]) Ita Buttmannus. Vulgo ἀποκρινόμενον. Mai ἀποκρυπτόμενον.

[2]) λύων Mai pro v. λέγων coniecit.

[3]) αἴτιαι e Buttmanni conjectura pro αἴτιοι dedi.

μελῶν ἐξαλλαγῆς καὶ ἐπὶ τῆς ἀηδόνος, ἥ τε θαματροπῶσα χέει πολυηχέα φωνήν. (Od. τ, 521.) *εἰ δὲ οἱ σοφοὶ δεινοί εἰσι διαλέγεσθαι, καὶ ἐπίστανται τὸ αὐτὸ νόημα κατὰ πολλοὺς λέγειν τρόπους· ἐπιστάμενοι δὲ πολλοὺς τρόπους λόγων περὶ τοῦ αὐτοῦ* [1]) *πολύτροποι ἂν εἶεν. οἱ δὲ σοφοὶ καὶ ἀγαθοί εἰσι. διὰ τοῦτό φησι τὸν Ὀδυσσέα Ὅμηρος σοφὸν ὄντα πολύτροπον εἶναι ὅτι δὴ τοῖς ἀνθρώποις ἠπίστατο πολλοῖς τρόποις συνεῖναι. οὕτω καὶ Πυθαγόρας λέγεται πρὸς παῖδας ἀξιωθεὶς ποιήσασθαι λόγους διαθεῖναι πρὸς αὐτοὺς λόγους παιδικοὺς καὶ πρὸς γυναῖκας γυναιξὶν ἁρμοδίους καὶ πρὸς ἄρχοντας ἀρχοντικούς, καὶ πρὸς ἐφήβους ἐφηβικούς. τὸν γὰρ ἑκάστοις* [2]) *πρόσφορον τρόπον τῆς σοφίας ἐξευρίσκειν σοφίας ἐστίν· ἀμαθίας δὲ εἶναι τὸ πρὸς τοὺς ἀνομοίους ἐντυγχάνοντα τοῦ λόγου τὸ μονότροπον. ἔχειν δὲ τοῦτο* [3]) *καὶ τὴν ἰατρικὴν ἐν τῇ τῆς τέχνης κατορθώσει, ἠσκηκυίας τῆς θεραπείας τὸ πολύτροπον διὰ τὴν τῶν θεραπευομένων ποικιλίας σύστασιν. τρόπος μὲν οὖν τὸ παλίμβολον, τὸ τοῦ ἤθους πολυμετάβολον. λόγου δὲ πολυτροπία καὶ χρῆσις ποικίλου λόγου εἰς ποικίλας ἀκοὰς μονοτροπία γίνεται. ἓν γὰρ τῷ ἑκάστῳ οἰκεῖον. διὸ καὶ τὸ ἁρμόδιον ἑκάστῳ τὴν ποικιλίαν τοῦ λόγου εἰς ἓν συναγείρει τὸν ἑκάστου πρόσφορον. τὸ δ᾽ αὖ μονοειδὲς ἀνάρμοστον τὸν πρὸς ἀκοὰς διαφόρους πολύτροπον ποιεῖ τὸν ὑπὸ πολλῶν ἀπόβλητον ὡς αὐτοῖς ἀπόβλητον λόγον* [4]).

---

[1]) Eodem auctore *περὶ τοῦ αὐτοῦ* pro *περὶ αὐτοῦ* scripsi.

[2]) *ἑκάστοις* cum eodem dedi pro v. *ἑκάστην*.

[3]) Vulgo *τοῦτον*.

[4]) Difficile est dictu de hoc scholio, quantum debeamus Porphyrio quantum Antistheni. Vide Buttmann. in Addend. p. 562.

II.

Schol. ad Odyss. ε', 211. p. 193 B.

οὐ μὲν θην κείνης γε χερείων εὔχομαι εἶναι.

Ἀντισθένης φησὶν εἰδέναι σοφὸν ὄντα τὸν Ὀδυσσέα, ὅτι οἱ ἐρῶντες πολλὰ ψεύδονται καὶ τὰ ἀδύνατα ἐπαγγέλλονται. ἐπισημαίνεται δὲ καὶ τὴν παραίτησιν δι' ἣν πεποίηται τῆς θεοῦ. ἐκείνης μὲν γὰρ ἐπὶ σώματος εὐμορφίᾳ καὶ μεγέθει μεγαλαυχούσης καὶ τὰ καθ' ἑαυτὴν προκρινούσης τῆς Πηνελόπης, συγχωρήσας μὲν τοῦτο καὶ τῷ ἀδήλῳ εἴξας, ἄδηλον μὲν γὰρ αὐτῷ εἰ ἀθάνατος καὶ ἀγήρως. ἐπισημήνασθαι ὅτι τὴν γαμετὴν ζητεῖ διὰ τὸ εἶναι περίφρονα, ὡς κἀκείνης ἂν ἀμελήσας, εἰ τῷ σώματι καὶ μόνῳ κάλλει κεκόσμηται [1]· τοῦτο γὰρ καὶ τοὺς μνηστῆρας εἰρηκέναι πολλάκις λέγοντας, οὐδ' ἐπὶ ἄλλας ἐρχόμεθ' ἃς ἐπιεικὲς ὀπυέμεν ἐστὶν ἑκάστῳ. (β, 207.) ταύτης δὲ ἕνεκα τῆς ἀρετῆς ἐπιδικαζόμεθα. Τὰ δὲ τῆς Καλυψοῦς ἐστι τοιαῦτα· οὐ μὲν ἐγὼ κείνης χερείων εὔχομαι εἶναι, οὐ δέμας οὐ φυὴν, οὐδὲ ἔοικε θνητὰς ἀθανάτῃσι δέμας ἐρίζειν καὶ εἶδος, τὰ σωματικὰ μόνον παραβαλλούσης. τοῦ δὲ Ὀδυσσέως. οἶδα καὶ αὐτὸς πάντα μάλ' οὕνεκα σεῖο περίφρων Πηνελόπεια εἶδος ἀκιδνοτέρη μέγεθός τ' εἰς ἄντα ἰδέσθαι, ἡ μὲν γὰρ βροτός ἐστι, σὺ δ' ἀθάνατος καὶ ἀγήρως. τὸ γὰρ περίφρων Πηνελόπεια ἔμφασιν ἔχει τῆς κατ' ὄρεξιν προκρίσεως.

---

[1]) „Scribendum vid. κεκόσμητο.“ Buttm.

III.

Schol. ad Odyss. η', 257. p. 267. B.

θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα.

ᾔδει γὰρ ὡς σοφὸς ὅτι ἀθανασίαν οὐχ αἱ τοιαῦται δαίμονες χαρίσαιντο ἄν· ἀλλὰ τοῦ Διὸς ἂν εἴη καὶ τῶν ἔργων ἃ πέφυκεν ἀπαθανατίζειν. Ἀντισθένης δέ φησι ὅτι τοὺς ἐρῶντας εἰδὼς ψευδομένους τὰς ὑποσχέσεις. τοῦτο γὰρ ποιεῖν οὐκ ἐδύνατο δίχα Διός.

IV.

Schol. ad Odyss. ί, 525. p. 328. B.

ὡς οὐκ ὀφθαλμόν γ' ἰήσεται οὐδ' Ἐνοσίχθων.

Διὰ τί Ὀδυσσεὺς οὕτως ἀνοήτως εἰς τὸν Ποσειδῶνα ὠλιγώρησεν εἰπών, ὡς οὐκ ὀφθαλμόν γ' ἰήσεται οὐδ' Ἐνοσίχθων; Ἀντισθένης μέν φησι διὰ τὸ εἰδέναι ὅτι οὐκ ἦν ἰατρὸς ὁ Ποσειδῶν ἀλλ' ὁ Ἀπόλλων. Ἀριστοτέλης δὲ οὐχ ὅτι οὐ δυνήσεται ἀλλ' ὅτι οὐ βουληθήσεται διὰ τὴν πονηρίαν τοῦ Κύκλωπος. Confer. Prelleri notatio de cod. Ms. Hamburgensi, qui Odysseam cum Scholiis continet et Scholiorum inde nunc primum editorum particula I. Dorpat. 1839. p. 37. 22. et 31.

V.

Schol. Venet. ad Hom. Iliad. λ', 636.

Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν.

Ἀντιφάνης δὲ οὐ περὶ τῆς κατὰ χεῖρα βαρύτητος λέγει, ἀλλ' ὅτι οὐκ ἐμεθύσκετο σημαίνει, ἀλλ' ἔφερε ῥᾳδίως τὸν οἶνον. Pro Ἀντιφάνης Spitznerus probabiliter Ἀντισθένης.

VI.

Schol. Lips. ad Il. σ', 123.

εἰ μὴ Ἀθήνη πᾶσι περιδδείσασα θεοῖσιν.

ἐκ τούτου καὶ Ἀντισθένης φησὶν, ὡς, εἴ τι πράττει ὁ σοφός, κατὰ πᾶσαν ἀρετὴν ἐνεργεῖ, ὡς καὶ ἡ Ἀθηνᾶ τριχῶς νουθετεῖ τὸν Ἄρην. Plutarch. de fort. Alex. p, 334.

VII.

Schol. Venet. ad. Il. ψ', 65.

ἦλθε δ' ἐπὶ ψυχὴ Πατροκλῆος δειλοῖο.

ἐντεῦθεν Ἀντισθένης ὁμοσχήμονάς φησι. τὰς ψυχὰς τοῖς περιέχουσι σώμασιν εἶναι.

X. ΠΕΡΙ ΟΙΝΟΥ ΧΡΗΣΕΩΣ.

Diog. Laert. VI. 18. περὶ οἴνου χρήσεως ἢ περὶ μέθης ἢ περὶ τοῦ Κύκλωπος.

I.

Aristides XXV. Orat. p. 560. T. I. p. 496, 20. Dindorf. ἐπεὶ δὲ καὶ ταύτην εἶχε τὴν πεῖραν, ἀφίησιν ἤδη πίνειν πρὸς ἐξουσίαν, ουτωσί πως χαριεντισάμενος ὅτι μάταιοι τῶν ἀνθρώπων εἶεν ὅσοι τῶν ἱκανῶν εὐποροῦντες μὴ τολμῶσιν ἐλευθέρως χρῆσθαι καὶ τὸ βιβλίον αὐτὸ τοῦτο ἐδόκει εἶναι Ἀντισθένους περὶ

χρήσεως· ἔφερε δὲ εἰς οἶνον καὶ Διονύσου προσῆν τινα σύμβολα.

XI. ΕΡΩΤΙΚΟΣ.

* I.

Clem. Alexandr. Strom. II. 20. p. 485. Pott. *ἐγὼ δὲ ἀποδέχομαι τὸν Ἀντισθένην, τὴν Ἀφροδίτην λέγοντα κἂν κατατοξεύσαιμι, εἰ λάβοιμι, ὅτι πολλὰς ἡμῶν καλὰς καὶ ἀγαθὰς γυναῖκας διέφθειρεν, τόν τε ἔρωτα κακίαν φησὶ φύσεως· ἧς ἥττους ὄντες οἱ κακοδαίμονες θεὸν τὴν νόσον καλοῦσιν· δείκνυται γὰρ διὰ τούτων ἡττᾶσθαι τοὺς ἀμαθεστέρους δι' ἄγνοιαν ἡδονῆς ἣν οὐ χρὴ προσίεσθαι κἂν θεὸς λέγηται τουτέστι κἂν θεόθεν ἐπὶ τὴν τῆς παιδοποιίας χρείαν δεδομένη τυγχάνῃ.* Vide praef. ad Phileb. ed. min. p. XIII.

* II.

Diog. Laert. VI. 11. *γαμήσειν τε τεκνοποιΐας χάριν ταῖς ἀφυεστάταις* [1] *συνιόντα γυναιξί. καὶ ἐρασθήσεσθαι* [2] *δέ. μόνον γὰρ εἰδέναι τὸν σοφὸν, τίνων χρὴ ἐρᾶν.* ib. VI. 3. *χρὴ τοιαύταις πλησιάζειν γυναιξὶν, αἳ χάριν εἴσονται.*

---

[1]) Ita conjecit C. Fr. Hermann. Libri *εὐφυεστάταις*. Conf. §. 3.

[2]) Fortasse legendum *καὶ ἐξεργάζεσθαι μαστροπείαν* coll. Plut. Quaest. Symp. II. 1, 6.

III.

Xen. Sympos. IV. 56. *Εἶεν, ἔφη ὁ Καλλίας· σὺ δὲ δή, ὦ Σώκρατες, τί ἔχεις εἰπεῖν ὡς ἄξιόν σοί ἐστι μέγα φρονεῖν ἐφ' ᾗ εἶπας* [1] *οὕτως ἀδόξῳ οὔσῃ τέχνῃ; καὶ ὃς εἶπεν, Ὁμολογησώμεθα πρῶτον ποῖά ἐστιν ἔργα τοῦ μαστροποῦ· καὶ ὅσα ἂν ἐρωτῶ, μὴ ὀκνεῖτε ἀποκρίνεσθαι, ἵνα εἰδῶμεν ὅσα ἂν συνομολογῶμεν. καὶ ὑμῖν οὕτω δοκεῖ; ἔφη. Πάνυ μὲν οὖν, ἔφασαν. ὡς δ' ἅπαξ εἶπον Πάνυ μὲν οὖν, τοῦτο πάντες ἐκ τοῦ λοιποῦ ἀπεκρίναντο.* 57. *Οὐκοῦν ἀγαθοῦ μέν, ἔφη, ὑμῖν δοκεῖ μαστροποῦ ἔργον εἶναι ἣν ἂν ἢ ὃν ἂν μαστροπεύῃ ἀρέσκοντα τοῦτον ἀποδεικνύναι οἷς ἂν συνῇ; Πάνυ μὲν οὖν, ἔφασαν. Οὐκοῦν ἓν μέν τί ἐστιν εἰς τὸ ἀρέσκειν ἐκ τοῦ πρέπουσαν ἔχειν σχέσιν καὶ τριχῶν καὶ ἐσθῆτος; Πάνυ μὲν οὖν, ἔφασαν.* 58. *Οὐκοῦν καὶ τόδε ἐπιστάμεθα ὅτι ἔστιν ἀνθρώπῳ τοῖς αὐτοῖς ὄμμασι καὶ φιλικῶς καὶ ἐχθρῶς πρός τινας βλέπειν; Πάνυ μὲν οὖν. Τί δέ, τῇ αὐτῇ φωνῇ ἔστι καὶ αἰδημόνως καὶ θρασέως φθέγγεσθαι; Πάνυ μὲν οὖν. Τί δέ, λόγοι οὐκ εἰσὶ μέν τινες ἀπεχθανόμενοι, εἰσὶ δέ τινες οἳ πρὸς φιλίαν ἄγουσι; Πάνυ μὲν οὖν.* 59. *Οὐκοῦν τούτων ὁ ἀγαθὸς μαστροπὸς τὰ συμφέροντα εἰς τὸ ἀρέσκειν διδάσκοι ἄν; Πάνυ μὲν οὖν. Ἀμείνων δ' ἂν εἴη, ἔφη, ὁ ἑνὶ δυνάμενος ἀρεστοὺς ποιεῖν ἢ ὅστις καὶ πολλοῖς; ἐνταῦθα μέντοι ἐσχίσθησαν, καὶ οἱ μὲν εἶπον Δῆλον ὅτι ὅστις πλείστοις, οἱ δὲ Πάνυ μὲν οὖν.* 60. *ὁ δὲ εἰπὼν ὅτι καὶ τοῦτο ὁμολογεῖται ἔφη, Εἰ δέ τις καὶ ὅλῃ τῇ πόλει ἀρέσκοντας δύναιτο ἀποδεικνύναι, οὐχ οὗτος παντελῶς ἂν ἤδη ἀγαθος*

---

[1]) Symp. III. 10.

μαστροπός εἴη; Σαφῶς γε νὴ Δία, πάντες εἶπον. Οὐκοῦν εἴ τις τοιούτους δύναιτο ἐξεργάζεσθαι ὧν προστατοίη, δικαίως ἂν μέγα φρονοίη ἐπὶ τῇ τέχνῃ καὶ δικαίως ἂν πολὺν μισθὸν λαμβάνοι; 61. ἐπεὶ δὲ καὶ ταῦτα πάντες συνωμολόγουν, Τοιοῦτος μέντοι, ἔφη, μοι δοκεῖ Ἀντισθένης εἶναι οὗτος. καὶ ὁ Ἀντισθένης, Ἐμοί, ἔφη, παραδίδως, ὦ Σώκρατες, τὴν τέχνην; Ναὶ μὰ Δί', ἔφη. ὁρῶ γάρ σε καὶ τὴν ἀκόλουθον ταύτης πάνυ ἐξειργασμένον. 62. Τίνα ταύτην; Τὴν προαγωγείαν, ἔφη. καὶ ὃς μάλα ἀχθεσθεὶς ἐπήρετο, Καὶ τί μοι σύνοισθα, ὦ Σώκρατες, τοιοῦτον εἰργασμένῳ; Οἶδα μέν, ἔφη, σε Καλλίαν τουτονὶ προαγωγεύσαντα τῷ σοφῷ Προδίκῳ, ὅτε ἑώρας τοῦτον μὲν φιλοσοφίας ἐρῶντα, ἐκεῖνον δὲ χρημάτων δεόμενον· οἶδα δέ σε Ἱππίᾳ τῷ Ἠλείῳ, παρ' οὗ οὗτος καὶ τὸ μνημονικὸν ἔμαθεν· ἀφ' οὗ δὴ καὶ ἐρωτικώτερος γεγένηται διὰ τὸ ὅ, τι ἂν καλὸν ἴδῃ μηδέποτε ἐπιλανθάνεσθαι. 63. ἔναγχος δὲ δήπου καὶ πρὸς ἐμὲ ἐπαινῶν τὸν Ἡρακλεώτην ξένον[1]), ἐπεί με ἐποίησας ἐπιθυμεῖν αὐτοῦ, συνέστησάς μοι αὐτόν. καὶ χάριν μέντοι σοι ἔχω· πάνυ γὰρ καλὸς κἀγαθὸς δοκεῖ μοι εἶ-

---

[1]) Plerique interpretes cogitant de Zeuxippo pictore. Equidem vero censeo, Brysonem filium Herodori Heracleotae Pontici, (de quo errat Wyttenb. ad Plut. de rect. aud. rat. p. 39. B.) eius, qui de Hercule commentarium scripsit, intelligendum esse. Suidas enim s. Σωκράτης T. III. p. 352. recensens Socratis discipulos Γλαύκωνα Ἀθηναῖον, Βρύσωνα Ἡρακλεώτην, ὃς τὴν ἐριστικὴν διαλεκτικὴν εἰσήγαγε μετὰ Εὐκλείδους — τινὲς δὲ Βρύσωνα οὐ Σωκράτους ἀλλ' Εὐκλείδου ἀκροατὴν γράφουσι· τούτου δὲ καὶ Πύῤῥων ἠκροάσατο. Aristotel. Soph. Elench. c. XI. p. 562. Bip. ἀλλ' ὡς Βρύσων ἐτετραγώνιζε τὸν κύκλον. Analyt. Post. I. 9. Rhetor. III. 2.

ναι. *Αἰσχύλον* δὲ τὸν *Φλιάσιον* πρὸς ἐμὲ ἐπαινῶν καὶ ἐμὲ πρὸς ἐκεῖνον οὐχ οὕτω διέθηκας ὥστε διὰ τοὺς σοὺς λόγους ἐρῶντες ἐκυνόδρομοῦμεν ἀλλήλους ζητοῦντες; 64. ταῦτα οὖν ὁρῶν δυνάμενόν σε ποιεῖν ἀγαθὸν νομίζω προαγωγὸν εἶναι. ὁ γὰρ οἷός τε ὢν γιγνώσκειν τε τοὺς ὠφελίμους αὑτοῖς καὶ τούτους δυνάμενος ποιεῖν ἐπιθυμεῖν ἀλλήλων, οὗτος ἄν μοι δοκεῖ καὶ πόλεις δύνασθαι φίλας ποιεῖν καὶ γάμους ἐπιτηδείους συνάγειν καὶ πολλοῦ ἂν ἄξιος εἶναι καὶ πόλεσι καὶ φίλοις καὶ συμμάχοις κεκτῆσθαι [1]).

ἔτι δὲ τρίτον, ὃ λύει τὸν σοφιστικὸν λόγον· οὐ γάρ, ὥς ἔφη Βρύσων, οὐδένα αἰσχρολογεῖν, εἴπερ τὸ αὐτὸ σημαίνει, τόδε εἰπεῖν· τοῦτο γάρ ἐστι ψεῦδος. Athen. XI. p. 508. C. D. Plat. Epistol. XIII. p. 498. Sext. Empir. adv. Mathem. VII. 13. p. 372. ἐπὶ δὲ τὸ λογικὸν κατηνέχθησαν μέρος οἱ περὶ Πανθοίδην καὶ Ἀλεξῖνον καὶ Εὐβουλίδην καὶ Βρύσωνα, Διονυσόδωρόν τε καὶ Εὐθύδημον Θούριον. Quanquam hic Fabricius intellexit Brysonem iuniorem, Clinomachi Thurii discipulum et praeceptorem Pyrrhonis, Achivum. Quibus tertium addo Brysonem Pythagoreum ap. Iamblich. vit. Pythag. 23. et Stobae. T. 85, 15. (T. III. p. 153.) Obiter moneo, Ephippi fragm. ap. Athen. XI. p. 509. C. ita mihi videri corrigendum:

Ἔπειτ' ἀναστὰς εὔστοχος νεανίας
τῶν ἐξ Ἀκαδημείας τις ὑπὸ Πλάτωνα καὶ
Βρύσωνα θρασυμαχειοληψικερμάτων
πληγεὶς ἀνάγκῃ, σκνὶψ ὀλιγομίσθῳ τέχνῃ
συνών τις, οὐκ ἄσκεπτα δυνάμενος λέγειν.

vs. 4. editur nunc ex Hemsterhusii coniectura ἀνάγκῃ ληψολιγομίσθῳ τέχνῃ. Libri autem exhibent: ληψιγομίσθῳ, λιψιγομισθῳ, ληψιγομίσθῳ τέχνῃ.

[1]) Finckh. mavolt καὶ πόλεσι καὶ ἰδιώταις φίλος καὶ σύμμαχος κεκτῆσθαι, Bach. solum φίλους καὶ συμμάχους mutat.

σὺ δὲ ὡς κακῶς ἀκούσας ὅτι ἀγαθόν σε ἔφην προαγωγὸν εἶναι ὠργίσθης. Ἀλλὰ μὰ Δί', ἔφη, οὐ νῦν. ἐὰν γὰρ ταῦτα δύνωμαι, σεσαγμένος δὴ παντάπασι πλούτου τὴν ψυχὴν ἔσομαι.

XII. ΠΕΡΙ ΠΑΙΔΕΙΑΣ

Η ΠΕΡΙ ΟΝΟΜΑΤΩΝ.

* I.

Arrian. Epict. Dissert. I. 17. Ἀντισθένης λέγει ὅτι ἀρχὴ παιδεύσεως ἡ τῶν ὀνομάτων ἐπίσκεψις.

* II.

Diog. Laert. VI. 103. γράμματα γοῦν μὴ μανθάνειν ἔφασκεν ὁ Ἀντισθένης τοὺς σώφρονας γενομένους, ἵνα μὴ διαστρέφοιντο τοῖς ἀλλοτρίοις.

XIII. ΣΑΘΩΝ.

I.

Athen. V. p. 220. D. καὶ Πλάτωνα δὲ μετονο-

μάσας Σάθωνα ἀσυρῶς καὶ φορτικῶς τὸν ταύτην ἔχοντα τὴν ἐπιγραφὴν διάλογον ἐξέδωκε κατ' αὐτοῦ. XI. p. 507. A.

II.

Diog. Laert. IX. 8, 53. οὗτος (Protagoras) τὸν Ἀντισθένους λόγον, τὸν πειρώμενον ἀποδεικνύειν, ὡς οὐκ ἔστιν ἀντιλέγειν, πρῶτος διείλεκται. Ib. III. 24, 35. λέγεται δ' ὅτι καὶ Ἀντισθένης μέλλων ἀναγινώσκειν τι τῶν γεγραμμένων αὐτῷ, παρεκάλεσεν αὐτὸν παρατυχεῖν. καὶ πυθόμενος τί μέλλει ἀναγινώσκειν, εἶπεν, ὅτι περὶ τοῦ μὴ εἶναι ἀντιλέγειν. Τοῦ δ' εἰπόντος, Πῶς οὖν σὺ περὶ αὐτοῦ τούτου γράφεις; καὶ διδάσκοντος ὅτι περιτρέπεται, ἔγραψε διάλογον κατὰ Πλάτωνος, Σάθωνα ἐπιγράψας. Ἐξ οὗ διετέλουν ἀλλοτρίως ἔχοντες πρὸς ἀλλήλους. Ib. VI. 7. Plat. Euthydem. p. 286. C. ubi v. prolegom. p. XXX. sq.

III.

Tzetz. Chiliad. VII. 606.

τῶν ἰδεῶν δὲ λέγουσι τρεῖς δόξας πεφυκέναι.
ψιλὰς ἐννοίας γάρ φησι ταύτας ὁ Ἀντισθένης
λέγων, βλέπω μὲν ἄνθρωπον καὶ ἵππον δ' ὁμοίως,
ἱππότητα οὐ βλέπω δ', οὐδ' ἀνθρωπότητά γ'.

Schol. ad. Aristot. p. 66. Brandis. τῶν δὲ παλαιῶν οἱ μὲν ἀνῄρουν τὰς ποιότητας τελέως, τὸ ποιὸν συγχωροῦντες εἶναι, ὥσπερ Ἀντισθένης, ὅς ποτε Πλάτωνι διαμφισβητῶν „ὦ Πλάτων“ ἔφη „ἵππον μὲν ὁρῶ, ἱππότητα δὲ οὐχ ὁρῶ.“ καὶ ὃς εἶπεν „ἔχεις μὲν ᾧ ἵππος ὁρᾶται τόδε τὸ ὄμμα, ᾧ δὲ ἱππότης θεωρεῖται οὐδέπω κέκτησαι.“ Ib. p. 68. πέμπτη αἰτία ὅτι ἔδει

καὶ περὶ τῆς ποιότητος συντόμως διαλαβεῖν δι' Ἀντισθένην καὶ τοὺς περὶ αὐτὸν, λέγοντας „ἄνθρωπον ὁρῶ, ἀνθρωπότητα δὲ οὐχ ὁρῶ“ ὡς ἀναιροῦντας τὴν ἁπλῶς ποιότητα. Conf. C. Fr. Hermann. system. plat. phil. I. p. 338. 268.

* IV.

Schol. ad Aristotel. p. 22. Brandis. *καί ποτε πάλιν τῷ αὐτῷ συνηγορῶν διδασκάλῳ* (Parmenidi) *ἀκίνητον λέγοντι τὸ ὄν, διὰ πέντε ἐπιχειρημάτων κατασκευάζει (Ζήνων) ὅτι ἀκίνητον τὸ ὄν· οἷς ἀντειπεῖν μὴ δυνηθεὶς Ἀντισθένης ὁ Κυνικὸς ἀναστὰς ἐβάδισε, νομίσας ἰσχυροτέραν εἶναι πάσης τῆς διὰ λόγων ἀντιλογίας τὴν διὰ τῶν ἔργων ἀπόδειξιν.*

XIV. ΑΛΗΘΕΙΑ.

Diog. Laert. VI. 1. *οὗτος κατ' ἀρχὰς μὲν ἤκουσε Γοργίου τοῦ ῥήτορος· ὅθεν τὸ ῥητορικὸν εἶδος ἐν τοῖς διαλόγοις ἐπιφέρει καὶ μάλιστα ἐν τῇ Ἀληθείᾳ*[1]) *καὶ τοῖς Προτρεπτικοῖς.*

---

[1]) Scite observavit Schleiermacherus Platonem refellentem Protagorae *ἀλήθειαν* (Cratyl. p. 386. C. 391. C. Theaet. 171. C. 161. C. Euthyd. 286. C. Diog. Laert. IX. 53.) potius An-

I.

Aristoteles Metaphys. Δ, 29. ὁ δὲ ψευδὴς λόγος οὐδενός ἐστιν ἁπλῶς λόγος. διὸ Ἀντισθένης ᾤετο εὐήθως μηδὲν ἀξιῶν λέγεσθαι πλὴν τῷ οἰκείῳ λόγῳ ἓν ἐφ' ἑνός· ἐξ ὧν συνέβαινε μὴ εἶναι ἀντιλέγειν, σχεδὸν δὲ μηδὲ ψεύδεσθαι.

Schol. ad. Aristotel. Metaphys. p. 732. Brandis. εἰπὼν δὲ ταῦτα αἰτιᾶται Ἀντισθένην εὐήθως λέγοντα περὶ μηδενὸς ἄλλου λέγεσθαί τινα λόγον ἢ περὶ ἐκείνου οὗ οἰκεῖός ἐστι, παρακρουσθέντα ὑπὸ τοῦ τὸν ψευδῆ λόγον μηδενὸς ἁπλῶς εἶναι λόγον· οὐ γὰρ εἰ μὴ ἁπλῶς ἐστὶ μηδὲ κυρίως, ἤδη καὶ οὐκ ἔστιν· ᾤετο δὲ ὁ Ἀντισθένης ἕκαστον τῶν ὄντων λέγεσθαι τῷ οἰκείῳ λόγῳ μόνῳ καὶ ἕνα ἑκάστου λόγον εἶναι· τὸν

---

tisthenis, cuius vehemens et acre ingenium maledicendique studium novit (Xen. Conv. IV. 2 – 5. VIII. 6.) librum ἀλήθειαν inscriptum impugnasse. Omnino in multis dialogis, ut in Philebo Sophista Euthydemo, Platonem adversus Antisthenem celato tamen nomine certare, res est nondum satis animadversa. Conf. Ritter. hist. phil. II. p. 117. C. Fr. Hermann. syst. plat. phil. I. p. 337. Inprimis in Theaeteto abunde illius simultatis, quae intercessit inter Platonem et Antisthenem, indicia reperiuntur, ut p. 169. B. Ἡρακλέες 150 A. προαγωγεία 174. B. τί δέ ποτ' ἐστὶν ἄνθρωπος καὶ τί τῇ τοιαύτῃ φύσει προσήκει διάφορον. Vel nomen et genus Antisthenis a Platone tecte indicari existimo p. 156. A. ἀντιτύπους et p. 174. A. Θαλῆν ἀστρονομοῦντα καὶ ἄνω βλέποντα πεσόντα εἰς φρέαρ Θρᾷττά τις ἐμμελὴς καὶ χαρίεσσα θεραπαινὶς ἀποσκῶψαι λέγεται. ib. B. γέλωτα παρέχει οὐ μόνον Θρᾴτταις ἀλλὰ καὶ τῷ ἄλλῳ ὄχλῳ. p. 176. C. ἀδημονῶν τε καὶ ἀπορῶν καὶ βαρβαρίζων γέλωτα Θρᾴτταις μὲν οὐ παρέχει οὐδ' ἄλλῳ ἀπαιδεύτῳ οὐδενί.

γὰρ οἰκεῖον τόδε τι σημαίνοντα καὶ μὴ ὄντα τούτου περὶ οὗ λέγεται εἶναι, ἀλλότριόν γε ὄντα αὐτοῦ· ἐξ ὧν καὶ συνάγειν ἐπειρᾶτο ὅτι μὴ ἔστιν ἀντιλέγειν· τοὺς μὲν γὰρ ἀντιλέγοντας περί τινος διάφορα λέγειν ὀφείλειν, μὴ δύνασθαι δὲ περὶ αὐτοῦ διαφόρους τοὺς λόγους φέρεσθαι τῷ ἕνα τὸν οἰκεῖον ἑκάστου εἶναι· ἕνα γὰρ ἑνὸς εἶναι καὶ τὸν λέγοντα περὶ αὐτοῦ λέγειν μόνον, ὥστε εἰ μὲν περὶ τοῦ πράγματος τοῦ αὐτοῦ λέγοιεν, τὰ αὐτὰ ἂν λέγοιεν ἀλλήλοις (εἷς γὰρ ὁ περὶ ἑνὸς λόγος), λέγοντες δὲ ταὐτὰ οὐκ ἂν ἀντιλέγοιεν ἀλλήλοις. εἰ δὲ διαφέροντα λέγοιεν, οὐκέτι λέξειν αὐτοὺς περὶ αὐτοῦ τῷ εἶναι ἕνα τὸν λόγον τὸν περὶ αὐτοῦ τοῦ πράγματος, τοὺς δὲ ἀντιλέγοντας ὀφείλειν περὶ τοῦ αὐτοῦ λέγειν καὶ οὕτως συνῆγε τὸ μὴ εἶναι ἀντιλέγειν. σχεδὸν δὲ μηδὲ ψεύδεσθαι διὰ τὸ μὴ οἷόν τε εἶναι περί τινος ἄλλον πλὴν τὸν ἴδιόν τε καὶ οἰκεῖον εἰπεῖν λόγον [1]).

* II.

Diog. Laert. VI. 3. *Πρῶτός τε ὡρίσατο λόγον, εἰπών, λόγος ἐστὶν ὁ τὸ τί ἦν, ἤ ἐστι, δηλῶν.*

* III.

Aristoteles Metaphys. *H*, 3. p. 1043. *ὥστε ἡ ἀπορία ἣν οἱ Ἀντισθένειοι καὶ οἱ οὕτως ἀπαίδευ-*

---

[1]) Horum cum maxima similitudo sit cum iis, quae a Platone in Euthydem. p. 285. 286. refelluntur, nunc Schleiermachero Platonem in Euthydemo Antisthenem potissimum voluisse erroris convincere opinato assentior. Vide proleg. p. XXX. sq. De Antisthenis dialectica videndi Ritterus hist. philos. Vol. II. p. 123 – 126 et C. Fr. Hermann. in Censura huius libri p. 29. sq.

τοι ἠπόρουν, ἔχει τινὰ καιρόν, ὅτι οὐκ ἔστι τὸ τί ἔστιν ὁρίσασθαι (τὸν γὰρ ὅρον λόγον εἶναι μακρόν) ἀλλὰ ποῖον μέν τί ἐστιν ἐνδέχεται καὶ διδάξαι, ὥσπερ ἄργυρον, τί μέν ἐστιν, οὔ, ὅτι δ' οἷον καττίτερος.

* IV.

Schol. ad Aristotel. Topic. p. 256. Brandis. οὐ μάτην δὲ οὐδὲ ἐκ περισσοῦ τῷ „ἦν“ τὸ „εἶναι“ πρόσκειται, ἀλλὰ ἀναγκαίως — οὐκ ἄρα αὔταρκες τὸ ἦν, ὥς τινες ἡγοῦνται, ὧν δοκεῖ πρῶτος μὲν Ἀντισθένης εἶναι, εἶτα δὲ καὶ τῶν ἀπὸ τῆς Στοᾶς τινές, ἀλλὰ εὐλόγως τὸ εἶναι πρόσκειται.

* V.

Epictet. dissert. I. 17, 10. καὶ τὰ λογικὰ ἄκαρπά ἐστι — καὶ περὶ τούτου μὲν ὀψόμεθα. εἰ δ' οὖν καὶ τοῦτο δοίη τις, ἐκεῖνο ἀπαρκεῖ, ὅτι τῶν ἄλλων ἐστὶ διακριτικὰ καὶ ἐπισκεπτικὰ, καὶ ὡς ἄν τις εἴποι, μετρητικὰ καὶ στατικά. Τίς λέγει ταῦτα; μόνος Χρύσιππος καὶ Ζήνων καὶ Κλεάνθης, Ἀντισθένης δ' οὐ λέγει.

XV. ΑΙΑΣ.

(Bekk. Orat. Attici T. V. p. 663. sq.)

Ἐβουλόμην ἂν τοὺς αὐτοὺς ἡμῖν δικάζειν οἵπερ καὶ ἐν τοῖς πράγμασι παρῆσαν· οἶδα γὰρ ὅτι ἐμὲ μὲν ἔδει σιωπᾶν, τούτῳ δ' οὐδὲν ἂν ἦν πλέον λέγοντι· νῦν δὲ οἱ μὲν παραγενόμενοι αὐτοῖς[1]) τοῖς ἔργοις ἄπει-

---

[1]) Ita dedi ex coniectura Bekkeri pro τοῖς αὐτοῖς ἔργοις.

σιν, ὑμεῖς δὲ οἱ οὐδὲν εἰδότες δικάζετε. καίτοι ποία τις ἂν δίκη δικαστῶν μὴ εἰδότων γένοιτο, καὶ ταῦτα διὰ λόγων; τὸ δὲ πρᾶγμα ἐγίνετο ἔργῳ. τὸ μὲν οὖν σῶμα τοῦ Ἀχιλλέως ἐκόμισα ἐγὼ φέρων, τὰ δὲ ὅπλα ὅδε, ἐπιστάμενος ὅτι οὐ τῶν ὅπλων μᾶλλον ἐπεθύμουν οἱ Τρῶες ἀλλ' ἢ τοῦ νεκροῦ κρατῆσαι. τοῦ μὲν γὰρ εἰ ἐκράτησαν, ᾐκίσαντό τε ἂν τὸ σῶμα καὶ τὰ λύτρα τοῦ Ἕκτορος ἐκομίσαντο· τὰ δὲ ὅπλα τάδε οὐκ ἂν ἀνέθεσαν τοῖς θεοῖς, ἀλλ' ἀπέκρυψαν, δεδιότες τόνδε τὸν ἀγαθὸν ἄνδρα, ὃς καὶ πρότερον ἱεροσυλήσας αὐτοῖς [1]) τὸ ἄγαλμα τῆς θεοῦ νύκτωρ ὥσπερ τι καλὸν ἐργασάμενος ἐπεδείκνυτο τοῖς Ἀχαιοῖς. κἀγὼ μὲν ἀξιῶ λαβεῖν ἵν' ἀποδῶ τὰ ὅπλα τοῖς φίλοις, οὗτος δὲ ἵν' ἀποδῶται, ἐπεὶ χρῆσθαί γε αὐτοῖς οὐκ ἂν τολμήσειε· δειλὸς γὰρ οὐδεὶς ἂν ἐπισήμοις ὅπλοις χρήσαιτο, εἰδὼς ὅτι τὴν δειλίαν αὐτοῦ ἐκφαίνει τὰ ὅπλα.

Σχεδὸν μὲν οὖν ἐστὶν ἅπαντα ὅμοια. οἵ τε γὰρ διαθέντες τὸν ἀγῶνα βασιλεῖς ἑκόντες εἶναι περὶ ἀρετῆς κρίνειν ἐπέτρεψαν ἄλλοις, οἵ τε οὐδὲν εἰδότες δικάσειν ὑπισχνεῖσθε περὶ ὧν οὐκ ἴστε. ἐγὼ δὲ ἐπίσταμαι τοῦτο, ὅτι οὐδεὶς ἂν βασιλεὺς ἱκανὸς ὢν περὶ ἀρετῆς κρίνειν ἐπιτρέψειεν ἄλλοις μᾶλλον ἤπερ ἀγαθὸς ἰατρὸς διαγνῶναι νοσήματα ἄλλῳ παρείη.

Καὶ εἰ μὲν ἦν μοι διαφορὰ [2]) πρὸς ἄνδρα ὁμοιότροπον, οὐδ' ἂν ἡττᾶσθαί μοι διέφερε· νῦν δ' οὐκ ἔστιν ὃ διαφέρει πλέον ἐμοῦ καὶ τοῦδε. ὁ μὲν γὰρ οὐκ ἔστιν ὅ τι ἂν δράσειε φανερῶς, ἐγὼ δὲ οὐδὲν ἂν λάθρᾳ τολμήσαιμι πρᾶξαι. κἀγὼ μὲν οὐκ ἂν ἀνασχοίμην κακῶς ἀκούων, οὐδὲ γὰρ κακῶς πάσχων,

---

[1]) αὐτοῖς Reiskius. Vulgo αὐτῆς, Bekkerus αὐτῶν e libris.

[2]) διαφορά inserui e mea coniectura. (Quidni ὁ ἀγών? Bait.)

ὁ δὲ κἂν κρεμάμενος, εἴ γε κερδαίνειν τι μέλλοι, ὅστις γε μαστιγοῦν παρεῖχε τοῖς δούλοις καὶ τύπτειν ξύλοις τὰ νῶτα καὶ πυγμαῖς τὸ πρόσωπον, κἄπειτα περιβαλόμενος ῥάκη, τῆς νυκτὸς εἰς τὸ τεῖχος εἰσδὺς τῶν πολεμίων, ἱεροσυλήσας ἀπῆλθε. καὶ ταῦτα ὁμολογήσει ποιεῖν, ἴσως δὲ καὶ πείσει λέγων ὡς καλῶς πέπρακται. ἔπειτα τῶν Ἀχιλλέως ὅπλων ὅδε ὁ μαστιγίας καὶ ἱερόσυλος ἀξιοῖ κρατῆσαι;

Ἐγὼ μὲν οὖν ὑμῖν λέγω τοῖς οὐδὲν εἰδόσι κριταῖς καὶ δικασταῖς, μὴ εἰς τοὺς λόγους σκοπεῖν περὶ ἀρετῆς κρίνοντας, ἀλλ' εἰς τὰ ἔργα μᾶλλον. καὶ γὰρ ὁ πόλεμος οὐ λόγῳ κρίνεται ἀλλ' ἔργῳ· οὐδ' ἀντιλέγειν ἔξεστι πρὸς τοὺς πολεμίους, ἀλλ' ἢ μαχομένους κρατεῖν ἢ δουλεύειν σιωπῇ. πρὸς ταῦτα ἀθρεῖτε, καὶ σκοπεῖτε ὡς εἰ μὴ δικάσετε καλῶς, γνώσεσθε ὅτι οὐδεμίαν ἔχει λόγος πρὸς ἔργον ἰσχύν, οὐδ' ἔστιν ὑμᾶς ὅ τι λέγων ἀνὴρ ὠφελήσει, εἴσεσθε δὲ ἀκριβῶς ὅτι δι' ἀπορίαν ἔργων πολλοὶ καὶ μακροὶ λόγοι λέγονται. ἀλλ' ἢ λέγετε ὅτι οὐ ξυνίετε τὰ λεγόμενα, καὶ ἀνίστασθε, ἢ δικάζετε ὀρθῶς. καὶ ταῦτα μὴ κρύβδην φέρετε, ἀλλὰ φανερῶς, ἵνα. γνῶτε ὅτι καὶ αὐτοῖς τοῖς δικάζουσι δοτέα δίκη ἐστίν, ἂν μὴ δικάσωσιν ὀρθῶς. κἄπειτ' ἴσως γνώσεσθε ὅτι οὐ κριταὶ τῶν λεγομένων ἀλλὰ δοξασταὶ κάθησθε. ἐγὼ δὲ διαγινώσκειν μὲν ὑμῖν περὶ ἐμοῦ καὶ τῶν ἐμῶν ἐπιτρέπω, διαδοξάζειν[1]) δὲ ἅπασιν ἀπαγορεύω; καὶ ταῦτα περὶ ἀνδρὸς ὃς οὐχ ἑκὼν ἀλλ' ἄκων ἀφῖκται εἰς Τροίαν, καὶ περὶ ἐμοῦ ὃς πρῶτος ἀεὶ καὶ μόνος καὶ ἄνευ τείχους τέταγμαι.

---

[1]) **Propter Prodici et Gorgiae imitationem has duas declamationes genuinas habeo.**

XVI. ΟΔΥΣΣΕΥΣ.

Οὐ πρὸς σέ μοι μόνον ὁ λόγος, δι' ὃν ἀνέστην, ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους ἅπαντας· πλείω γὰρ ἀγαθὰ πεποίηκα τὸ στρατόπεδον ἐγὼ ἢ ὑμεῖς ἅπαντες. καὶ ταῦτα καὶ ζῶντος ἂν ἔλεγον Ἀχιλλέως, καὶ νῦν τεθνεῶτος λέγω πρὸς ὑμᾶς. ὑμεῖς μὲν γὰρ οὐδεμίαν ἄλλην μάχην μεμάχησθε, ἣν οὐχὶ καὶ ἐγὼ μεθ' ὑμῶν· ἐμοὶ δὲ τῶν ἰδίων κινδύνων οὐδεὶς ὑμῶν μετέχων [1]) οὐδὲν ξύνοιδε. καίτοι ἐν μὲν ταῖς κοιναῖς μάχαις, οὐδὲ εἰ καλῶς ἀγωνίζοισθε, πλέον ἐγίγνετο οὐδέν· ἐν δὲ τοῖς ἐμοῖς κινδύνοις, οὓς ἐγὼ μόνος ἐκινδύνευον, εἰ μὲν κατορθώσαιμι, ἅπαντα ὑμῖν ἐπετελεῖτο ὧν ἕνεκα δεῦρο ἀφίγμεθα, εἰ δὲ σφαλείην, ἐμοῦ ἂν ἑνὸς ἀνδρὸς ἐστέρησθε. οὐ γὰρ ἵνα μαχοίμεθα τοῖς Τρωσὶ δεῦρ' ἀφίγμεθα, ἀλλ' ἵνα τήν τε Ἑλένην ἀπολάβοιμεν καὶ τὴν Τροίαν ἕλοιμεν. ταῦτα δ' ἐν τοῖς ἐμοῖς κινδύνοις ἐνῆν ἅπαντα. ὅπου γὰρ ἦν κεχρημένον ἀνάλωτον εἶναι τὴν Τροίαν, εἰ μὴ πρότερον τὸ ἄγαλμα τῆς θεοῦ λάβοιμεν τὸ κλαπὲν παρ' ἡμῶν, τίς ἐστιν ὁ κομίσας δεῦρο τὸ ἄγαλμα ἄλλος ἢ ἐγώ; ὃν σύ γε ἱεροσυλίας κρίνεις. σύ γε οὐδὲν οἶσθα, ὅστις τὸν ἄνδρα τὸν ἀνασώσαντα τὸ ἄγαλμα τῆς θεοῦ, ἀλλ' οὐ τὸν ὑφελόμενον παρ' ἡμῶν Ἀλέξανδρον, ἀποκαλεῖς ἱερόσυλον. καὶ τὴν Τροίαν μὲν ἁλῶναι ἅπαντες εὔχεσθε, ἐμὲ δὲ τὸν ἐξευρόντα ὅπως ἔσται τοῦτο ἀποκαλεῖς ἱερόσυλον; καίτοι εἴπερ καλόν γε

---

[1]) μετέχων inserui e mea coniectura.

ἦν ἑλεῖν τὸ Ἴλιον, καλὸν καὶ τὸ εὑρεῖν τὸ τούτου αἴτιον. καὶ οἱ μὲν ἄλλοι χάριν ἔχουσι, σὺ δὲ καὶ ὀνειδίζεις ἐμοί. ὑπὸ γὰρ ἀμαθίας ὧν εὖ πέπονθας οὐδὲν οἶσθα. κἀγὼ μὲν οὐκ ὀνειδίζω σοι τὴν ἀμαθίαν· ἄκων γὰρ αὐτὸ καὶ σὺ καὶ ἄλλοι πεπόνθατε ἅπαντες· ἀλλ' ὅτι διὰ τὰ ὀνείδη τὰ ἐμὰ σωζόμενος οὐχ οἷός τε εἶ πείθεσθαι, ἀλλὰ καὶ προσαπειλεῖς ὡς κακὸν δράσων τι τούσδε, ἐὰν ἐμοὶ τὰ ὅπλα ψηφίσωνται. ἐγὼ δ' οἶδα ὡς καὶ πολλάκις ἀπειλήσεις καὶ πολλά, πρὶν καὶ σμικρόν τι ἐργάσασθαι· ἀλλ' εἴπερ ἐκ τῶν εἰκότων τι χρὴ τεκμαίρεσθαι, ὑπὸ τῆς κακῆς ὀργῆς οἴομαί σε κακόν τι σαυτὸν ἐργάσασθαι.

Καὶ ἐμοὶ μέν, ὅτι τοὺς πολεμίους κακῶς ἐποίησα, δειλίαν ὀνειδίζεις· σὺ δὲ ὅτι φανερῶς ἐμόχθεις καὶ μάτην ἠλίθιος ἦσθα, ὅτι μετὰ πάντων τοῦτ' ἔδρασας, οἴει βελτίων εἶναι. ἔπειτα περὶ ἀρετῆς πρὸς ἐμὲ λέγεις· ὃς πρῶτον μὲν οὐκ οἶσθα οὐδ' ὅπως ἔδει μάχεσθαι, ἀλλ' ὥσπερ ὗς ἄγριος ὀργῇ φερόμενος τάχ' ἂν ποτε ἀποκτενεῖς σεαυτόν, κακῷ περιπεσών τῳ. οὐκ οἶσθα ὅτι τὸν ἄνδρα τὸν ἀγαθὸν οὔθ' ὑπ' αὐτοῦ χρὴ οὔθ' ὑφ' ἑτέρου οὔθ' ὑπὸ τῶν πολεμίων κακὸν οὐδ' ὁτιοῦν πάσχειν; σὺ δὲ ὥσπερ οἱ παῖδες χαίρεις ὅτι σέ φασιν οἵδε ἀνδρεῖον εἶναι· ἐγὼ δὲ δειλότατόν γε ἁπάντων καὶ δεδιότα τὸν θάνατον μάλιστα, ὅστις γε πρῶτον ὅπλα ἔχεις ἄῤῥηκτα καὶ ἄτρωτα, δι' ἅπερ σέ φασιν οὐ τρωτὸν εἶναι. καίτοι τί ἂν δράσαις εἴ τις σοὶ τῶν πολεμίων τοιαῦτα ὅπλα ἔχων προσέλθοι; ἦ που καλόν τι καὶ θαυμαστὸν ἂν εἴη, εἰ μηδέτερος ὑμῶν μηδὲν δρᾶσαι δύναιτο. ἔπειτα οἴει τι διαφέρειν τοιαῦτα ὅπλα ἔχων ἢ ἐντὸς τείχους καθῆσθαι; καὶ σοὶ μόνῳ δὴ τεῖχος οὐκ ἔστιν, ὡς σὺ φῄς· μόνος μὲν οὖν σύ γε ἑπταβόειον περιέρχῃ τεῖχος προβαλλό-

μενος ἑαυτοῦ· ἐγὼ δὲ ἄοπλος οὐ πρὸς τὰ τείχη τῶν πολεμίων ἀλλ' εἰς αὐτὰ εἰσέρχομαι τὰ τείχη, καὶ τῶν πολεμίων τοὺς προφύλακας ἐγρηγορότας αὐτοῖς ὅπλοις αἱρῶ, καὶ εἰμὶ στρατηγὸς καὶ φύλαξ καὶ σοῦ καὶ τῶν ἄλλων ἁπάντων, καὶ οἶδα τά τ' ἐνθάδε καὶ τὰ ἐν τοῖς πολεμίοις, οὐχὶ πέμπων κατασκεψόμενον ἄλλον, ἀλλ' αὐτός, ὥσπερ οἱ κυβερνῆται τὴν νύκτα καὶ τὴν ἡμέραν σκοποῦσιν ὅπως σώσουσι τοὺς ναύτας, οὕτω δὲ καὶ ἔγωγε καὶ σὲ καὶ τοὺς ἄλλους ἅπαντας σώζω. οὐδ' ἔστιν ὅντινα κίνδυνον ἔφυγον αἰσχρὸν ἡγησάμενος, ἐν ᾧ μέλλοιμι τοὺς πολεμίους κακόν τι δράσειν· οὐδ' εἰ μὲν ὄψεσθαί μέ τινες ἔμελλον, γλιχόμενος ἂν τοῦ δοκεῖν ἐτόλμων· ἀλλ' εἴτε δοῦλος εἴτε πτωχὸς καὶ μαστιγίας ὢν μέλλοιμι τοὺς πολεμίους κακόν τι δράσειν, ἐπεχείρουν ἄν, καὶ εἰ μηδεὶς ὁρώῃ. οὐ γὰρ δοκεῖν ὁ πόλεμος, ἀλλὰ δρᾶν ἀεὶ καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ φιλεῖ τι. οὐδὲ ὅπλα ἔστι μοι τεταγμένα, ἐν οἷς προκαλοῦμαι τοῖς πολεμίοις μάχεσθαι, ἀλλ' ὅντινα ἐθέλει τις τρόπον, καὶ πρὸς ἕνα καὶ πρὸς πολλοὺς ἕτοιμός εἰμ' ἀεί. οὐδ' ἡνίκα κάμνω μαχόμενος, ὥσπερ σύ, τὰ ὅπλα ἑτέροις παραδίδωμι, ἀλλ' ὁπότ' ἂν ἀναπαύωνται οἱ πολέμιοι, τότε αὐτοῖς τῆς νυκτὸς ἐπιτίθεμαι, ἔχων τοιαῦτα ὅπλα ἃ ἐκείνους βλάψει μάλιστα. καὶ οὔτε νὺξ πώποτέ με ἀφείλετο, ὥσπερ σὲ πολλάκις μαχόμενον ἄσμενον πέπαυκεν· ἀλλ' ἡνίκα ἂν ῥέγχῃς σύ, τηνικαῦτα ἐγὼ σώζω σε, καὶ τοὺς πολεμίους ἀεὶ κακόν τι ποιῶ, ἔχων τὰ δουλοπρεπῆ ταῦτα ὅπλα καὶ τὰ ῥάκη καὶ τὰς μάστιγας, δι' ἃς σὺ ἀσφαλῶς καθεύδεις.

Σὺ δ' ὅτι φέρων ἐκόμισας τὸν νεκρόν, ἀνδρεῖος οἴει εἶναι; ὃν εἰ μὴ ἠδύνω φέρειν, δύο ἄνδρες ἂν ἐφερέτην. κἄπειτα κἀκεῖνοι περὶ ἀρετῆς πως ἂν ἡμῖν

ἠμφισβήτουν, κἀμοὶ μὲν ὁ αὐτὸς ἂν πρὸς αὐτοὺς ἦν λόγος· σὺ δὲ τί ἂν ἔλεγες ἀμφισβητῶν πρὸς αὐτούς; ἢ δυοῖν μὲν οὐκ ἂν φροντίσαις, ἑνὸς δ' ἂν αἰσχύνοιο ὁμολογῶν δειλότερος εἶναι; οὐκ οἶσθ' ὅτι οὐ τοῦ νεκροῦ τοῖς Τρωσὶν ἀλλὰ τῶν ὅπλων ἔμελεν ὅπως λάβοιεν; τὸν μὲν γὰρ ἀποδώσειν ἔμελλον, τὰ δὲ ὅπλα ἀναθήσειν εἰς τὰ ἱερὰ τοῖς θεοῖς. τοὺς γὰρ νεκροὺς οὐ τοῖς οὐκ ἀναιρουμένοις αἰσχρόν, ἀλλὰ τοῖς μὴ ἀποδιδοῦσι θάπτειν. σὺ μὲν οὖν τὰ ἕτοιμα ἐκόμισας, ἐγὼ δὲ τὰ ὀνειδιζόμενα ἀφειλόμην ἐκείνους.

Φθόνον δὲ καὶ ἀμαθίαν νοσεῖς, κακὼ ἐναντιωτάτω αὐτοῖς· καὶ ὁ μέν σε ἐπιθυμεῖν ποιεῖ τῶν καλῶν, ἡ δὲ ἀποτρέπει. ἀνθρώπινον μὲν οὖν τι πέπονθας· διότι γὰρ ἰσχυρὸς εἶ, οἴει καὶ ἀνδρεῖος εἶναι, καὶ οὐκ οἶσθα ὅτι σοφίᾳ περὶ πόλεμον καὶ ἀνδρείᾳ οὐ ταὐτόν ἐστιν ἰσχῦσαι, ἀμαθία δὲ κακὸν μέγιστον τοῖς ἔχουσιν. οἶμαι δέ, ἄν ποτέ τις ἄρα σοφὸς ποιητὴς περὶ ἀρετῆς γένηται, ἐμὲ μὲν ποιήσει πολύτλαν τε [1]) καὶ πολύμητιν καὶ πολυμήχανον καὶ πτολίπορθον καὶ μόνον τὴν Τροίαν ἑλόντα, σὲ δέ, ὡς ἐγᾦμαι, τὴν φύσιν ἀπεικάζων τοῖς τε νωθέσιν ὄνοις καὶ βουσὶ ταῖς φορβάσιν ἄλλοις παρέχουσι [2]) δεσμεύειν καὶ ζευγνύναι αὐτούς.

---

[1]) Bekk. malit πολύτλαντα.

[2]) παρέχουσι Reiskius et Toupius. Vulgo ὑπάρχουσι.

XVII. ΑΝΤΙΣΘΕΝΗΣ ΑΡΙΣΤΙΠΠΩΙ.

(Socratic. epistol. p. 15. ed. Orell.)

Οὐκ ἔστι τοῦτο φιλοσοφεῖν τὸ παρὰ τυράννοις εἶναι καὶ Σικελικαῖς προσανέχειν τραπέζαις, ἀλλὰ μᾶλλον τὸ ἐν τῇ ἰδίᾳ καὶ αὐτάρκων ἐφίεσθαι. Σὺ δὲ οἴει ταύτην εἶναι πλεονεξίαν τοῦ σπουδαίου τὸ δύνασθαι μὲν κτᾶσθαι χρήματα πολλὰ, τοὺς δὲ δυνατωτάτους ἔχειν φίλους. Οὔτε γὰρ χρήματα ἀναγκαῖά ἐστιν, οὔτε, εἰ ἀναγκαῖα ἦν, οὕτω ποριζόμενα καλά· οὔτε φίλοι γένοιντο ἂν οἱ πολλοὶ ἀμαθεῖς ὄντες, καὶ ταῦτα τύραννοι· ὥστε σοὶ συμβουλεύσαιμι ἂν ἀπιέναι Συρακουσῶν τε καὶ Σικελίας. Εἰ δ᾽, ὥς φασί τινες, ἡδονὴν θαυμάζεις, καὶ τούτων ἀντέχῃ, ὧν μὴ προσήκει τοὺς φρονίμους ἀνθρώπους, ἄπιθι εἰς Ἀντίκυραν, καὶ ὠφελήσει σε ὁ ἐλλέβορος ποθείς· πολὺ κρείσσων γάρ ἐστιν οὗτος τοῦ παρὰ Διονυσίου οἴνου. Ἐκεῖνος μὲν γὰρ μανίαν ποιεῖ πολλὴν, οὗτος δὲ ἀποπαύει. Ὁπόσον οὖν ὑγίειά τε καὶ φρόνησις νόσου τε καὶ ἀφροσύνης διαφέρει, ἐπὶ τοσοῦτον ἂν καὶ σὺ διήνεγκες πρὸς τὰ νῦν σοι ὄντα[1]. Ἔῤῥωσο.

---

[1]) Aristipp. ad Antisth. p. 17. Or. *πέμψω δέ σοι τῶν θέρμων τὼς μεγάλως τε καὶ λευκὼς, ἵν᾽ ἔχῃς μετὰ τὸ ἐπιδείξασθαι τὸν Ἡρακλέα τοῖς νέοις ὑποτρωγεῖν*, quod referri oportet ad recitationem **Antisthenici Herculis**. Id. ad Aeschin. l. c. *ταῦτα δὲ Ἀντισθένει μὴ λέξῃς, εἰ σέσωκα τοὺς φίλους. Οὐ γὰρ αὐτῷ ἀρέσκει τυράννοις φίλοις χρῆσθαι, ἀλλὰ τοὺς ἀλφιτοπώλας καὶ τὼς καπήλως ἀναζητεῖν, οἵτινες δικαίως τὰ ἄλφιτα καὶ τὸν οἶνον πωλοῦσιν ἐν Ἀθήναις καὶ τὰς ἐξωμίδας μισθοῦσι τὰς παχείας, ὁπόταν οἱ σκίρωνες πνέωντι καὶ τὸν Σίμωνα θεραπεύειν.* **Antisthenem Simonis** amicum fuisse, discimus etiam ex epist. Aristipp. ad Simon. p. 18.

XVIII. INCERTA.

I.

Diog. Laert. VI. 10. *διδακτὴν* ἀπεδείκνυε *τὴν ἀρετήν*. Xen. Symp. II. 12. 13. καὶ ὁ Σωκράτης καλέσας τὸν *Ἀντισθένην* εἶπεν, οὗτοι τούς γε θεωμένους τάδε ἀντιλέξειν ἔτι οἴομαι ὡς οὐχὶ *καὶ ἡ ἀνδρεία διδακτόν*, ὁπότε αὕτη καίπερ γυνὴ οὖσα οὕτω τολμηρῶς εἰς τὰ ξίφη ἵεται. καὶ ὁ *Ἀντισθένης* εἶπεν, Ἆρ' οὖν καὶ τῷδε τῷ Συρακοσίῳ κράτιστον ἐπιδείξαντι τῇ πόλει τὴν ὀρχηστρίδα εἰπεῖν, ἐὰν διδῶσιν αὐτῷ Ἀθηναῖοι χρήματα, ποιήσειν πάντας Ἀθηναίους τολμᾶν ὁμόσε ταῖς λόγχαις ἰέναι;

II.

Diog. Laert. VI. 12. *ἀνδρὸς καὶ γυναικὸς ἡ αὐτὴ ἀρετή*. Xen. Symp. II. 9. 10. καὶ ὁ Σωκράτης εἶπεν, Ἐν πολλοῖς μέν, ὦ ἄνδρες, καὶ ἄλλοις δῆλον καὶ ἐν οἷς δ' ἡ παῖς ποιεῖ ὅτι *ἡ γυναικεία φύσις οὐδὲν χείρων τῆς τοῦ ἀνδρὸς οὖσα τυγχάνει*, γνώμης δὲ καὶ ἰσχύος δεῖται. ὥστε εἴ τις ὑμῶν γυναῖκα ἔχει, θαῤῥῶν διδασκέτω ὅ τι βούλοιτ' ἂν αὐτῇ ἐπισταμένῃ χρῆσθαι. καὶ ὁ *Ἀντισθένης*, Πῶς οὖν, ἔφη, ὦ Σώκρατες, οὕτω γιγνώσκων οὐ καὶ σὺ παιδεύεις Ξανθίππην, ἀλλὰ χρῇ γυναικὶ τῶν οὐσῶν, οἶμαι δὲ καὶ τῶν γεγενημένων καὶ τῶν ἐσομένων χαλεπωτάτῃ;

III.

Diog. Laert. VI. 11. τήν τε *ἀδοξίαν* ἀγαθὸν

καὶ ἴσον τῷ πόνῳ. Arrian. Diss. Epict. I. 24. de Diogene: *λέγει ὅτι ἀδοξία ψόφος ἐστὶ μαινομένων ἀνθρώπων.* Diog. Laert. VI. 72. ib. 83. de Monimo. ib. 93. de Cratete.

IV.

Ib. *αὐτάρκη τε εἶναι τὸν σοφόν. πάντα γὰρ αὐτοῦ εἶναι τὰ τῶν ἄλλων.* Diog. Laert. VI. 72. de Diogene: *πάντα τῶν σοφῶν εἶναι λέγων καὶ τοιούτους λόγους ἐρωτῶν οἵους ἄνω προειρήκαμεν· πάντα τῶν θεῶν ἐστι· φίλοι δὲ τοῖς σοφοῖς οἱ θεοί· κοινὰ δὲ τὰ τῶν φίλων· πάντα ἄρα τῶν σοφῶν.*

V.

Ib. 12. *ἀναφαίρετον ὅπλον ἀρετή.* 13. *τεῖχος ἀσφαλέστατον φρόνησιν. μήτε γὰρ καταῤῥεῖν μήτε προδίδοσθαι. τείχη κατασκευαστέον ἐν τοῖς αὐτῶν ἀναλώτοις λογισμοῖς.* V. Wyttenb. ad Plut. de educ. puer. p. 5. E.

VI.

Diog. Laert. VI. 11. *ἤρεσκεν αὐτῷ καὶ τάδε. ἀπεδείκνυε τοὺς αὐτοὺς εὐγενεῖς τοὺς καὶ ἐναρέτους. αὐτάρκη γὰρ τὴν ἀρετὴν εἶναι πρὸς εὐδαιμονίαν, μηδενὸς προσδεομένην ὅτι μὴ Σωκρατικῆς ἰσχύος· τήν τε ἀρετὴν τῶν ἔργων εἶναι, μήτε λόγων πλείστων δεομένην μήτε μαθημάτων. — — καὶ τὸν σοφὸν οὐ κατὰ τοὺς κειμένους νόμους πολιτεύεσθαι ἀλλὰ κατὰ τὸν τῆς ἀρετῆς. — — ἀναγράφει δ' αὐτοῦ καὶ Διοκλῆς ταυτί. — — κρεῖττόν ἐστι μετ' ὀλίγων ἀγαθῶν πρὸς ἅπαντας τοὺς κακοὺς ἢ μετὰ πολλῶν κακῶν πρὸς ὀλίγους ἀγαθοὺς μάχεσθαι· προσέχειν τοῖς ἐχθροῖς· πρῶ-*

τοι γὰρ τῶν ἁμαρτημάτων αἰσθάνονται. τὸν δίκαιον περὶ πλείονος ποιεῖσθαι τοῦ συγγενοῦς· — — τἀγαθὰ καλά, τὰ κακὰ αἰσχρά· τὰ πονηρὰ πάντα νόμιζε ξενικά.

VII.

Clem. Alex. Strom. II. p. 498. Pott. πάλιν Ἀντισθένης μὲν τὴν ἀτυφίαν (sc. τέλος τοῦ βίου λέγει). Theodoret. gr. aff. cur. disp. XI. p. 985.

VIII.

Xenoph. Sympos. III. 8. Τί γὰρ σύ, εἶπεν, ἐπὶ τίνι μέγα φρονεῖς, ὦ Ἀντίσθενες; Ἐπὶ πλούτῳ, ἔφη· ὁ μὲν δὴ Ἑρμογένης ἀνήρετο, εἰ πολὺ εἴη αὐτῷ ἀργύριον. Ὁ δὲ ἀπώμοσε μηδὲ ὀβολόν. Ἀλλὰ γῆν πολλήν, ἔφη, κέκτησαι; Ἴσως ἄν, ἔφη, Αὐτολύκῳ τούτῳ ἱκανὴ γένοιτο ἐγκονίσασθαι.

Ib. IV. 34. Ἀλλ' ἄγε δή, ἔφη ὁ Σωκράτης, σὺ αὖ λέγε ἡμῖν, ὦ Ἀντίσθενες, πῶς οὕτω βραχέα ἔχων μέγα φρονεῖς ἐπὶ πλούτῳ. Ὅτι νομίζω, ὦ ἄνδρες, τοὺς ἀνθρώπους οὐκ ἐν τῷ οἴκῳ τὸν πλοῦτον καὶ τὴν πενίαν ἔχειν ἀλλ' ἐν ταῖς ψυχαῖς. 35. Ὁρῶ γὰρ πολλοὺς μὲν ἰδιώτας, οἳ πάνυ πολλὰ ἔχοντες χρήματα οὕτω πένεσθαι ἡγοῦνται, ὥστε πάντα μὲν πόνον πάντα δὲ κίνδυνον ὑποδύονται, ἐφ' ᾧ πλείονα κτήσονται· οἶδα δὲ καὶ ἀδελφούς, οἳ τὰ ἴσα λαχόντες, ὁ μὲν αὐτῶν τἀρκοῦντα ἔχει καὶ περισσεύοντα τὰ τῆς δαπάνης, ὁ δὲ τοῦ παντὸς ἐνδεῖται [1]). 36. Αἰσθάνομαι δὲ καὶ

---

[1]) Satis acerbe more suo Antisthenes causam agit pauperis amici Hermogenis, qui fratrem habebat ditissimum Calliam sed omnium rerum inopia premebatur. Vide Plat. Cratyl. p. 384. C. 386. A. B. 391. C. Xen. Mem. II. 10, 3. Suspicor in Cra-

τυράνους τινὰς οἳ οὕτως αὖ πεινῶσι χρημάτων ὥστε ποιοῦσι πολὺ δεινότερα τῶν ἀπορωτάτων· δι' ἔνδειαν μὲν γὰρ δήπου οἱ μὲν κλέπτουσιν, οἱ δὲ τοιχωρυχοῦσιν, οἱ δὲ ἀνδραποδίζονται· τύραννοι δ' εἰσί τινες οἳ ὅλους μὲν οἴκους ἀναιροῦσιν, ἀθρόους δ' ἀποκτείνουσι, πολλάκις δὲ καὶ ὅλας πόλεις χρημάτων ἕνεκα ἐξανδραποδίζονται. 37. τούτους μὲν οὖν ἔγωγε καὶ πάνυ οἰκτείρω τῆς ἄγαν χαλεπῆς νόσου. ὁμοῖα γάρ μοι δοκοῦσι πάσχειν ὥσπερ εἴ τις πολλὰ πίνων [1] καὶ πολλὰ ἐσθίων μηδέποτε ἐμπίπλαιτο. ἐγὼ δὲ οὕτω μὲν πολλὰ ἔχω ὡς μόλις αὐτὰ καὶ ἐγὼ ἂν αὐτὸς εὑρίσκω [2]. ὅμως δὲ περίεστί μοι καὶ ἐσθίοντι ἄχρι τοῦ μὴ πεινῆν ἀφικέσθαι καὶ πίνοντι μέχρι τοῦ μὴ διψῆν καὶ ἀμφιέννυσθαι ὥστε ἔξω μὲν μηδὲν μᾶλλον Καλλίου τούτου τοῦ πλουσιωτάτου ῥιγοῦν· 38. ἐπειδάν γε μὴν ἐν τῇ οἰκίᾳ γένωμαι, πάνυ μὲν ἀλεεινοὶ χιτῶνες οἱ τοῖχοί μοι δοκοῦσιν εἶναι, πάνυ δὲ παχεῖαι ἐφεστρίδες οἱ ὄροφοι, στρωμνήν γε μὴν οὕτως ἀρκοῦσαν ἔχω ὥστε ἔργον μέγ' ἐστι [3] καὶ ἀνεγεῖραι. ἢν δέ ποτε καὶ ἀφροδισιάσαι τὸ σῶμά μου δεηθῇ, οὕτω μοι τὸ παρὸν ἀρκεῖ ὥστε αἷς ἂν προσέλθω ὑπερασπάζονταί με διὰ τὸ μηδένα ἄλλον αὐταῖς ἐθέλειν προσιέναι. 39. καὶ πάντα τοίνυν ταῦτα οὕτως ἡδέα μοι δοκεῖ εἶναι ὡς μᾶλλον μὲν ἥδεσθαι ποιῶν ἕκαστα αὐτῶν οὐκ ἂν

---

tylo sub Hermogenis persona Antisthenis grammaticas quaestiones examinari. v. C. Fr. Hermann. syst. plat. phil. I. p. 496. 657.

[1]) *πίνων* Schneiderus. Libri *ἔχων*.

[2]) Malim *ἐγὼ αὐτὸς ἀνευρίσκω*. *ἂν* delevit Dindorfius.

[3]) Ita edidi ex mea coniectura. Libri *μέτεστι*. Bachius *μέ γ' ἐστί*.

εὐξαίμην, ἧττον δέ· οὕτω μοι δοκεῖ ἔνια αὐτῶν ἡδίω εἶναι τοῦ συμφέροντος. 40. πλείστου δ' ἄξιον κτῆμα ἐν τῷ ἐμῷ πλούτῳ λογίζομαι εἶναι ἐκεῖνο ὅτι εἴ μού τις καὶ τὰ νῦν ὄντα παρέλοιτο οὐδὲν οὕτως ὁρῶ φαῦλον ἔργον ὁποῖον οὐκ ἀρκοῦσαν ἂν τροφὴν ἐμοὶ παρέχοι. 41. καὶ γὰρ ὅταν ἡδυπαθῆσαι βουληθῶ, οὐκ ἐκ τῆς ἀγορᾶς τὰ τίμια ὠνοῦμαι, πολυτελῆ γὰρ γίγνεται, ἀλλ' ἐκ τῆς ψυχῆς ταμιεύομαι. καὶ πολὺ πλεῖον διαφέρει πρὸς ἡδονὴν ὅταν ἀναμείνας τὸ δεηθῆναι προσφέρωμαι ἢ ὅταν τινὶ τῶν τιμίων χρῶμαι, ὥσπερ καὶ νῦν τῷδε τῷ Θασίῳ οἴνῳ ἐντυχὼν οὐ διψῶν πίνω αὐτόν. 42. ἀλλὰ μὴν καὶ πολὺ δικαιοτέρους γε εἰκὸς εἶναι τοὺς εὐτέλειαν μᾶλλον ἢ πολυχρηματίαν σκοποῦντας. οἷς γὰρ μάλιστα τὰ παρόντα ἀρκεῖ ἥκιστα τῶν ἀλλοτρίων ὀρέγονται. 43. ἄξιον δ' ἐννοῆσαι ὡς καὶ ἐλευθερίους ὁ τοιοῦτος πλοῦτος παρέχεται. Σωκράτης τε γὰρ οὗτος, παρ' οὗ ἐγὼ τοῦτον ἐκτησάμην, οὔτ' ἀριθμῷ οὔτε σταθμῷ ἐπήρκει μοι, ἀλλ' ὁπόσον ἐδυνάμην φέρεσθαι [1]) τοσοῦτόν μοι πα-

---

[1]) Haec verba me commovent, ut extremam Platonis Phaedri partem et preces ibi Pani factas hirsutum Antisthenem, qui omnem externum cultum et divitias contemnebat, tangere existimem. P. 279. *ὦ φίλε Πάν τε καὶ ἄλλοι ὅσοι τῇδε θεοί, δοίητέ μοι καλῷ γενέσθαι τἄνδοθεν· ἔξωθεν δὲ ὅσα ἔχω, τοῖς ἐντὸς εἶναί μοι φίλια. πλούσιον δὲ νομίζοιμι τὸν σοφόν. τὸ δὲ χρυσοῦν πλῆθος εἴη μοι ὅσον μήτε φέρειν μήτε ἄγειν δύναιτ' ἄλλος ἢ σώφρων.* Quare nunc melius intelligetur facetia sermonis Antisthenici in Xen. Conv. VI. 5. *καὶ ὁ Καλλίας ἔφη, Ὅταν οὖν ὁ Ἀντισθένης ὅδ' ἐλέγχῃ τινὰ ἐν τῷ συμποσίῳ, τί ἔσται τὸ αὔλημα; καὶ ὁ Ἀντισθένης εἶπε, Τῷ μὲν ἐλεγχομένῳ οἶμαι ἄν, ἔφη, πρέπειν συριγμόν.* Porro Antisthenis et Platonis dissidium perpetuum indicare videtur Phaedr.

ρεδίδου· ἐγώ τε νῦν οὐδενὶ φθονῶ, ἀλλὰ πᾶσι τοῖς φίλοις καὶ ἐπιδεικνύω τὴν ἀφθονίαν καὶ μεταδίδωμι τῷ βουλομένῳ τοῦ ἐν τῇ ἐμῇ ψυχῇ πλούτου. 44. καὶ μὴν καὶ τὸ ἁβρότατόν γε κτῆμα τὴν σχολὴν ἀεὶ ὁρᾶτέ μοι παροῦσαν, ὥστε καὶ θεᾶσθαι τὰ ἀξιοθέατα καὶ ἀκούειν τὰ ἀξιάκουστα καὶ, ὃ πλείστου ἐγὼ τιμῶμαι, Σωκράτει σχολάζων συνδιημερεύειν. καὶ οὗτος δὲ οὐ τοὺς πλεῖστον ἀριθμοῦντας χρυσίον θαυμάζει, ἀλλ' οἳ ἂν αὐτῷ ἀρέσκωσι τούτοις συνὼν διατελεῖ. οὗτος μὲν οὖν οὕτως εἶπεν. coll. V. 8.

IX.

Athen. IV. p. 157. B. ὁρῶ γὰρ πολλὴν παρ' ἡμῖν τῆς φακῆς τὴν σκευήν. εἰς ἣν ἀποβλέπουσα συμβουλεύσαιμ' ἂν ὑμῖν κατὰ τὸν Σωκρατικὸν Ἀντισθένην, ἐξάγειν ἑαυτοὺς τοῦ βίου τοιαῦτα σιτουμένους.

X.

Athen. V. p. 216. B. καὶ Ἀντισθένης δ' ὁ Σωκρατικὸς περὶ τῶν ἀριστείων τὰ αὐτὰ τῷ Πλάτωνι ἱστορεῖ. οὐκ ἔστι δ' ἔτυμος ὁ λόγος οὗτος. χαρίζεται γὰρ καὶ ὁ κύων οὗτος πολλὰ τῷ Σωκράτει· ὅθεν οὐδετέρῳ αὐτῶν δεῖ πιστεύειν, σκοπὸν ἔχοντας Θου-

---

p. 260. B. ἀλλ' ὅτε δὴ σπουδῇ σε πείθοιμι, συντιθεὶς λόγον ἔπαινον κατὰ τοῦ ὄνου ἵππον ἐπονομάζων καὶ λέγων ὡς παντὸς ἄξιον τὸ θρέμμα οἴκοι τε κεκτῆσθαι καὶ ἐπὶ στρατείας. coll. Diog. Laert. VI. 8. συνεβούλευεν Ἀθηναίοις τους ὄνους ἵππους ψηφίσασθαι. Ἄλογον δὲ ἡγουμένων, Ἀλλὰ μὴν καὶ στρατηγοὶ, φησὶ, γίγνονται παρ' ὑμῶν μηδὲν μαθόντες, μόνον δὲ χειροτονηθέντες.

κυδίδην. ὁ γὰρ Ἀντισθένης καὶ προσεπάγει τῇ ψευδογραφίᾳ λέγων οὕτως· ἡμεῖς δὲ ἀκούομεν κἂν τῇ πρὸς Βοιωτοὺς μάχῃ τἀριστεῖά σε λαβεῖν. Εὐφήμει, ὦ ξένε· Ἀλκιβιάδου τὸ γέρας, οὐκ ἐμόν. Σοῦ γε δόντος, ὡς ἡμεῖς ἀκούομεν.

XI.

Athen. XII. p. 513. A. Ἀντισθένης δὲ τὴν ἡδονὴν ἀγαθὸν εἶναι φάσκων προσέθηκε τὴν ἀμεταμέλητον. Wyttenb. ad. Plut. praec. sanit. tuend. p. 137. B.

XII.

Eusebius praep. evang. XV. 13. Ἀντισθένης Ἡρακλεωτικός τις ἀνὴρ τὸ φρόνημα, ὅς ἔφη τοῦ ἥδεσθαι τὸ μαίνεσθαι κρεῖττον εἶναι· διὸ καὶ παρῄνει τοῖς γνωρίμοις μηδέποτε χάριν ἡδονῆς δάκτυλον ἐκτεῖναι. Clem. Alex. Strom. II. 20. p. 492. A. Gellius IX. 5. Cic. de finib. bonorum et malorum V. 31, 93. Diog. Laert. IX. 101.

XIII.

Aristoteles Polit. III. 8. καὶ γὰρ γελοῖος ἂν εἴη νομοθετεῖν τις πειρώμενος κατ' αὐτῶν· λέγοιεν γὰρ ἂν ἴσως ἅπερ Ἀντισθένης ἔφη τοὺς λέοντας δημηγορούντων τῶν δασυπόδων καὶ τὸ ἴσον ἀξιούντων πάντας ἔχειν.

XIV.

Demetrius Phaler. de elocut. 261 (p. 137). ποιητικὸν δὲ δεινότητός ἐστιν καὶ τὸ τέλει τιθέναι τὸ δεινότατον· παραλαμβανόμενον γὰρ ἐν μέσῳ ἀμβλύ-

νεται, καθάπερ τὸ Ἀντισθένους· σχεδὸν γὰρ ὀδυνήσει ἄνθρωπος ἐκ φρυγάνων ἀναστάς: εἰ γὰρ μετασυνθείη οὕτως τις αὐτὸ, σχεδὸν γὰρ ἐκ φρυγάνων ἀναστὰς ἄνθρωπος ὀδυνήσει, καίτοι ταὐτὸν εἰπών, οὐ ταὐτὸν ἔτι νομισθήσεται λέγειν.

XV.

Aristoteles Rhet. III. 4. καὶ ὡς Ἀντισθένης Κηφισόδοτον τὸν λεπτὸν λιβανωτῷ εἴκασεν [1]), ὅτι ἀπολλύμενος εὐφραίνει.

XVI.

Antisthenis videntur esse verba ibid. III. 10. ὁ κύων δὲ τὰ καπηλεῖα τὰ Ἀττικὰ φειδίτια (ἐκάλει).

XVII.

Schol. Porphyr. ad Horat. Sat. II. 2, 94. Hoc Antisthenes dixisse traditur. Is enim cum vidisset adolescentem luxuriosum acroamatibus deditum, ait, miserum te, adolescens, qui nunquam audisti summum acroama, laudem tuam. Quanquam alii id tribuunt Xenophonti. Vide Intt. ad Mem. II. 1, 31.

XVIII.

Clem. Alex. Protrept. p. 64. Pott. ὅθεν εἰκότως ὁ Ἀντισθένης ἔλεγεν αὐτοῖς μεταιτοῦσιν, οὐ τρέφω τὴν μητέρα τῶν θεῶν, ἣν οἱ θεοὶ τρέφουσιν. Plut. de exsil. VIII. p. 395.

---

[1]) Conf. Xen. Symp. VI. 8.

XIX.

Schol. Aristoph. Thesmoph. v. 21. *καὶ διὰ τούτου φαίνεται ὑπονοῶν Εὐριπίδου εἶναι τὸ*

σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ.

ἔστι δὲ Σοφοκλέους ἐξ Αἴαντος Λοκροῦ. ἐνταῦθα μέντοι ὑπονοεῖ μόνον, ἐν δὲ τοῖς Ἥρωσιν ἄντικρυς ἀποφαίνεται. καὶ Ἀντισθένης καὶ Πλάτων[1] *Εὐριπίδου αὐτὸ εἶναι ἡγοῦνται οὐκ ἔχω εἰπεῖν ὅ τι παθόντες.*

XX.

Plutarch. quomodo adolescens poetas audire debeat. p. 33. C. *Ὅθεν οὐδ' αἱ παραδιορθώσεις φαύλως ἔχουσιν, αἷς καὶ Κλεάνθης ἐχρήσατο καὶ Ἀντισθένης· ὁ μὲν εὖ μάλα τοὺς Ἀθηναίους ἰδὼν θορυβήσαντας ἐν τῷ θεάτρῳ*

τί δ' αἰσχρὸν, ἣν μὴ τοῖσι χρωμένοις δοκῇ;

παραβάλλων εὐθὺς

αἰσχρὸν τό γ' αἰσχρὸν, κἂν δοκῇ, κἂν μὴ δοκῇ.

Ille versus est Euripidis, teste Schol. Arist. Ran. 1523 et quidem ex Aeolo fabula secundum Grauert. de mediae Graecorum comoediae natura et forma p. 53. in Rhen. Mus. II. 1. 1828. Parodiam vero alii Platoni, alii Diogeni adscribunt, v. Leopard. emend. I. 6. Iacobs de hetaer. p. 429.

XXI.

Plutarch. philos. esse c. princ. p. 86. T. XII. Hutt. *οὗτος εἰ μὴ μόνον φιλογεωργὸς ἀλλὰ καὶ φιλάν-*

---

[1]) Theag. p. 268. B. de rep. VIII. p. 421. B.

θρωπος ἦν, ἥδιον ἂν ἔσπειρε τὴν τοσούτους τρέφειν δυναμένην, ἢ τὸ Ἀντισθένους ἐκεῖνο χωρίδιον, ἣν μόλις αὐτῷ αὖ πάλιν ἀνήρηκας. εἰ δέ σε ἠρόμην, τὴν οἰκουμένην ἅπασαν ἐπιστρέφειν παραιτοῦμαι. Recte videtur Wyttenb. hunc corruptissimum locum ita ex Xenoph. Sympos. III. 8. correxisse: ὃ μόλις Αὐτολύκῳ ἐμπαλαίειν ἤρκεσε· ἐγὼ δὲ ἀρουμένην τὴν οἰκουμένην ἅπασαν ἐπιστρέφειν παραιτοῦμαι. coll. ib. IV. 37. Plut. de exsilio. p. 370. T. X. Diog. Laert. VI. 98. Cic Tusc. Q. V. 37. Gataker. ad Marc. Antonin. VI. 44. p. 249.

XXII.

Philo quod omnis probus liber p. 869. εἰς ταῦτα δ' ἀπιδὼν Ἀντισθένης, δυσβάστακτον εἶπεν εἶναι τὸν ἀστεῖον· ὡς γὰρ ἡ ἀφροσύνη κοῦφον καὶ φερόμενον, ἡ φρόνησις ἐρηρεισμένον καὶ ἀκλινὲς καὶ βάρος ἔχον ἀσάλευτον.

XXIII.

Arrian. Epictet. Dissert. III. c. 24, 67 sq. Ἐξ οὗ μ' Ἀντισθένης ἠλευθέρωσεν, οὐκέτι ἐδούλευσα. Πῶς ἠλευθέρωσεν; Ἄκουε τί λέγει· Ἐδίδαξέ με τὰ ἐμὰ, καὶ τὰ οὐκ ἐμά· κτῆσις οὐκ ἐμή. συγγενεῖς, οἰκεῖοι, φίλοι, φήμη, συνήθεις τόποι, διατριβὴ, πάντα ταῦτα ὅτι ἀλλότρια. Σὸν οὖν τί; Χρῆσις φαντασιῶν. ταύτην ἔδειξέ μοι ὅτι ἀκώλυτον ἔχω, ἀνανάγκαστον, οὐδεὶς ἐμποδίσαι δύναται, οὐδεὶς βιάσασθαι ἄλλως χρήσασθαι ἢ ὡς θέλω. coll. IV. 1, 114.

XIX. APOPHTHEGMATA.

Fragmentis succedere iussi Apophthegmata, quia multa ex ipsis libris Antisthenis petita esse e fragm. Cyri n. III. p. 18. coll. Diog. Laert. VI. 3. extr. concludo.

I.

Maxim. p. 49. *Ἀντισθένης ἐρωτηθεὶς, τί ἐστιν ἑορτὴ, ἔφη, γαστριμαργίας ἀφορμή.*

II.

Diog. Laert. VI. 4. *κρεῖττον ἔλεγε, καθά φησιν Ἑκάτων ἐν ταῖς χρείαις, εἰς κόρακας ἢ εἰς κόλακας ἐμπεσεῖν· οἱ μὲν γὰρ νεκροὺς, οἱ δὲ ζῶντας ἐσθίουσιν.* V. Iacobs. ad Anthol. II. 3. p. 217.

III.

Ib. *Ἐρωτώμενος διὰ τί ὀλίγους ἔχει μαθητάς; ἔφη, ὅτι ἀργυρέᾳ*[1] *αὐτοὺς ἐκβάλλω ῥάβδῳ.*

IV.

Ib. *Ἐρωτηθεὶς διὰ τί πικρῶς τοῖς μαθηταῖς ἐπιπλήττει; καὶ οἱ ἰατροὶ, φησὶ, τοῖς κάμνουσιν.*

---

[1]) Frustra hoc explicare conatus est Welcker. in Rhen. Mus. phil. 1832. I. p. 37. Equidem malo scribere: *ὅτι Κερκυραίᾳ αὐτοὺς ἐκβάλλω ῥάβδῳ.* Conf. Diogenianus V. 50. *Κερκυραία μάστιξ· ἐπὶ τῶν μεγάλων μαστίγων· τοιαύτας γὰρ εἶχον.* Schol. ad Arist. Av. 1463.

De severitate, qua Antisthenes repulit Diogenem, omnia sunt nota. v. Aelian. V. H. X. 16. Diog. Laert. VI. 21. Dio Chrysost. IX. Arrian. Dissert. III. 24.

V.

Dio Chrysostom. VIII. p. 275. Reisk. *Διογένης ὁ Σινωπεὺς — τῶν μὲν ἄλλων ταχὺ κατεφρόνησεν, Ἀντισθένει δὲ ἐχρῆτο, οὐκ αὐτὸν οὕτως ἐπαινῶν ὡς τοὺς λόγους, οὓς ἔλεγεν, ἡγούμενος μόνους εἶναι ἀληθεῖς καὶ μάλιστα δυναμένους ἄνθρωπον ὠφελῆσαι. ἐπεὶ αὐτόν γε τὸν Ἀντισθένη παραβάλλων πρὸς τοὺς λόγους ἐνίοτε ἤλεγχεν ὡς πολὺ μαλακώτερον καὶ ἔφη αὐτὸν εἶναι σάλπιγγα, λοιδορῶν. αὐτοῦ γὰρ οὐκ ἤκουε φθεγγομένου μέγιστον. καὶ ὁ Ἀντισθένης ὑπέμενεν αὐτὸν ταῦτα ἀκούων· πάνυ γὰρ ἐθαύμαζε τοῦ ἀνθρώπου τὴν φύσιν. ἔλεγεν οὖν ἀμυνόμενος ἀντὶ τῆς σάλπιγγος τοῖς σφηξὶν αὐτὸν ὅμοιον εἶναι· καὶ γὰρ τῶν σφηκῶν εἶναι τὸν μὲν ψόφον τῶν πτερῶν μικρὸν, τὸ δὲ κέντρον δριμύτατον. ἔχαιρεν οὖν τῇ παῤῥησίᾳ τοῦ Διογένους, ὥσπερ οἱ ἱππικοὶ ὅταν ἵππον θυμοειδῆ λάβωσιν, ἄλλως δὲ ἀνδρεῖον καὶ φιλόπονον, οὐδὲν ἧττον ἀποδέχονται τὸ χαλεπὸν τοῦ ἵππου· τοὺς δὲ νωθροὺς καὶ βραδεῖς μισοῦσι καὶ ἀποδοκιμάζουσιν. ἐνίοτε μὲν οὖν ἐπέτεινεν αὐτὸν, ἐνίοτε δὲ ἐπειρᾶτο ἀνιέναι. ὥσπερ οἱ χορδοστρόφοι τὰ νεῦρα τείνουσι, προσέχοντες μὴ ῥαγῇ.*

VI.

Stobae. T. I. 30. Gaisf. p. 17. *Ἀντισθένους. οὔτε συμπόσιον χωρὶς ὁμιλίας οὔτε πλοῦτος χωρὶς ἀρετῆς ἡδονὴν ἔχει.*

VII.

Stobae. T. 3, 46 a. Gaisf. p. 96. *Ἀντισθένης* ἐρωτηθεὶς, τί δή ποτε οὐχ οἱ πλούσιοι πρὸς τοὺς σοφοὺς ἀπίασιν, ἀλλ' ἀνάπαλιν, εἶπεν, ὅτι οἱ σοφοὶ μὲν ἴσασιν, ὧν ἐστὶν αὐτοῖς χρεία πρὸς τὸν βίον· οἱ δὲ οὐκ ἴσασιν· ἐπεὶ μᾶλλον σοφίας ἢ χρημάτων ἐπεμελοῦντο.

VIII.

Stobae. T. 6, 2. Gaisf. p. 182. *Ἀντισθένης* ἔλεγεν, τὰς μὴ κατὰ θύραν εἰσιούσας ἡδονὰς ἀναγκαῖον μὴ κατὰ θύραν πάλιν ἐξιέναι· δεήσειν οὖν τμηθῆναι ἢ ἐλλεβορισθῆναι. Stob. T. 18, 27. Gaisf. p. 365. *Ἀντισθένους.* Τὰς μὴ κατὰ θύρας, φησὶν ὁ *Ἀντισθένης*, εἰσιούσας ἀπολαύσεις δεήσει ἢ σχασθῆναι, ἢ ἐλλεβορισθῆναι, ἢ πάντως λιμαγχονηθῆναι, κακὰς ἀμοιβὰς ἐκτίνοντα τῆς προγεγενημένης ἀπληστίας ἕνεκα μικρᾶς καὶ ὀλιγοχρονίου ἡδονῆς.

IX.

Stobae. T. 8, 14. Gaisf. p. 227. *Ἀντισθένους.* ὅστις δὲ ἑτέρους δέδοικε, δοῦλος ὢν λέληθεν ἑαυτόν.

X.

Stob. T. 10, 42. Gaisf. p. 294. *Ἀντισθένους·* Φιλάργυρος οὐδεὶς ἀγαθὸς, οὔτε βασιλεὺς, οὔτε ἐλεύθερος.

XI.

Stob. T. IV. 19. Gaisf. p. 334. *Ἀντισθένης* ἔλεγεν, ὥσπερ τὰς ἑταίρας τἀγαθὰ πάντα εὔχεσθαι τοῖς ἐρασταῖς παρεῖναι πλὴν νοῦ καὶ φρονήσεως, οὕτω καὶ τοὺς κόλακας οἷς σύνεισι.

XII.

Stob. T. 29, 65. Gaisf. p. 11. *Ἀντισθένους.* Ἡδονὰς τὰς μετὰ τοὺς πόνους διωκτέον, ἀλλ' οὐχὶ τὰς πρὸ τῶν πόνων.

XIII.

Stob. T. 45, 28. Gaisf. p. 252. *Ἀντισθένης* ἐρωτηθεὶς, πῶς ἂν τις προσέλθοι πολιτείᾳ, εἶπε, Καθάπερ πυρὶ, μήτε λίαν ἐγγὺς, ἵνα μὴ καῇς· μήτε πόῤῥω, ἵνα μὴ ῥιγώσῃς.

XIV.

Stob. T. 49, 47. Gaisf. p. 359. *Ἀντισθένης* ὁ φιλόσοφος τοὺς δημίους εὐσεβεστέρους ἔλεγεν εἶναι τῶν τυράννων. πυθομένου δέ τινος τὴν αἰτίαν, ἔφη, ὅτι ὑπὸ μὲν τῶν δημίων οἱ ἀδικοῦντες ἀναιροῦνται, ὑπὸ δὲ τῶν τυράννων οἱ μηδὲν ἁμαρτάνοντες.

XV.

Stob. T. 50, 11. Gaisf. p. 365. *Ἀντισθένης* ὁ Σωκρατικὸς εἰπόντος τινὸς, ὅτι ὁ πόλεμος ἀπολεῖ τοὺς πένητας, Πολλοὺς μὲν οὖν ποιήσει, ἔφη.

XVI.

Stob. T. 82, 8. Ἀντισθένους. οὐκ ἀντιλέγοντα δεῖ τὸν ἀντιλέγοντα παύειν, ἀλλὰ διδάσκειν· οὐδὲ γὰρ τὸν μαινόμενον ἀντιμαινόμενός τις ἰᾶται.

XVII.

Diog. Laert. VI. 3. πρὸς δὲ τὸν ἐρώμενον ποδαπὴν γήμῃ, ἔφη, ἂν μὲν καλὴν ἕξεις κοινήν· ἂν δὲ αἰσχρὰν, ἕξεις ποινήν.

XVIII.

Ib. 4. ἰδών ποτε μοιχὸν φεύγοντα, Ὦ δυστυχὴς, εἶπε, πηλίκον κίνδυνον ὀβολοῦ διαφυγεῖν ἐδύνασο.

XIX.

Ib. 3. πρός τε τὸ Ποντικὸν μειράκιον, μέλλον φοιτᾷν αὐτῷ καὶ πυθόμενον τίνων αὐτῷ δεῖ, φησὶ, βιβλιαρίου καὶ νοῦ, καὶ γραφείου καὶ νοῦ, καὶ πινακιδίου καὶ νοῦ, τὸν νοῦν παρεμφαίνων.

XX.

Ib. 4. Ὀνειδιζόμενός ποτε ὡς οὐκ εἴη ἐκ δύο ἐλευθέρων, Οὐδὲ γὰρ ἐκ δύο, ἔφη, παλαιστικῶν, ἀλλὰ παλαιστικός εἰμι.

XXI.

Ib. 5. Γνωρίμου ποτὲ πρὸς αὐτὸν ἀποδυρομένου, ὡς εἴη τὰ ὑπομνήματα ἀπολωλεκὼς, Ἔδει γὰρ, ἔφη,

ἐν τῇ ψυχῇ αὐτὰ καὶ μὴ ἐν ταῖς χάρταις γράφειν.

XXII.

Ib. 5. Ὥσπερ ὑπὸ τοῦ ἰοῦ τὸν σίδηρον, οὕτως ἔλεγε τοὺς φθονεροὺς ὑπὸ τοῦ ἰδίου ἤθους κατεσθίεσθαι.

XXIII.

Ib. Τότ' ἔφη τὰς πόλεις ἀπόλλυσθαι, ὅταν μὴ δύνωνται τοὺς φαύλους ἀπὸ τῶν σπουδαίων διακρίνειν.

XXIV.

Ib. Ἐπαινούμενός ποτε ὑπὸ πονηρῶν, ἔφη, ἀγωνιῶ μή τι κακὸν εἴργασμαι.

XXV.

Ib. 6. Ὁμονοούντων ἀδελφῶν συμβίωσιν παντὸς ἔφη τείχους ἰσχυροτέραν εἶναι.

XXVI.

Ib. Τοιαῦτα δεῖν ἔφη ποιεῖσθαι ἐφόδια, ἃ καὶ ναυαγήσαντι συγκολυμβήσει.

XXVII.

Ib. Ὀνειδιζόμενός ποτε ἐπὶ τῷ πονηροῖς συγγενέσθαι, Καὶ οἱ ἰατροί, φησί, μετὰ τῶν νοσούντων εἰσίν, ἀλλ' οὐ πυρέττουσιν.

XXVIII.

Ib. Ἄτοπον ἔφη τοῦ μὲν σίτου αἴρας ἐκ-

λέγειν καὶ ἐν τῷ πολέμῳ τοὺς ἀχρείους, ἐν δὲ πολιτείᾳ τοὺς πονηροὺς μὴ παραιτεῖσθαι.

XXIX.

Ib. Ἐρωτηθεὶς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη, Τὸ δύνασθαι ἑαυτῷ ὁμιλεῖν.

XXX.

Ib. Εἰπόντος αὐτῷ τινος παρὰ πότον, ᾆσον, Σύ μοι, φησὶν, αὔλησον.

XXXI.

Ib. Διογένει χιτῶνα αἰτοῦντι πτύξαι προσέταξε θοἰμάτιον.

XXXII.

Ib. 7. Ἐρωτηθεὶς τί τῶν μαθημάτων ἀναγκαιότατον, ἔφη, τὸ κακὰ ἀπομαθεῖν.

XXXIII.

Ib. Παρεκελεύετό τε κακῶς ἀκούοντας καρτερεῖν μᾶλλον ἢ εἰ λίθοις τις βάλλοιτο.

XXXIV.

Ib. 8. Ἐρωτηθεὶς ὑπό του (καθά φησι Φανίας ἐν τῷ περὶ τῶν Σωκρατικῶν) τί ποιῶν καλὸς κἀγαθὸς ἔσοιτο; ἔφη, Εἰ τὰ κακὰ ἃ ἔχεις, ὅτι φευκτά ἐστι, μάθοις, παρὰ τῶν εἰδότων.

XXXV.

Ib. Πρὸς τὸν ἐπαινοῦντα τρυφὴν, Ἐχθρῶν παῖδες, ἔφη, τρυφήσειαν.

XXXVI.

Ib. 9. *Πρὸς τὸ παρασχηματίζον αὐτοῦ τῷ πλάστῃ μειράκιον, Εἰπέ μοι, φησὶν, εἰ φωνὴν λάβοι ὁ χαλκὸς, ἐπὶ τίνι ἂν σεμνυνθῆναι; Τοῦ δ' εἰπόντος, Ἐπὶ κάλλει, Οὐκ αἰσχύνῃ οὖν, ἔφη, τὰ ὅμοια γεγηθὼς ἀψύχῳ.*

XXXVII.

Ib. *Ποντικοῦ νεανίσκου πολυωρήσειν αὐτὸν ἐπαγγελλομένου, εἰ τὸ πλοῖον ἀφίκοιτο τῶν ταρίχων λαβὼν αὐτὸν καὶ θύλακον κενὸν, πρὸς ἀλφιτόπωλιν ἧκε καὶ σαξάμενος ἀπῄει. Τῆς δὲ αἰτούσης τὸ διάφορον, Ὁ νεανίσκος, ἔφη, δώσει ἐὰν τὸ πλοῖον αὐτοῦ τῶν ταρίχων ἀφίκηται.*

XXXVIII.

Ib. *Αὐτὸς καὶ Ἀνύτῳ τῆς φυγῆς αἴτιος γενέσθαι δοκεῖ καὶ Μελίτῳ τοῦ θανάτου.* 10. *Ποντικοῖς γὰρ νεανίσκοις κατὰ κλέος τοῦ Σωκράτους ἀφιγμένοις περιτυχὼν ἀπήγαγεν αὐτοὺς πρὸς τὸν Ἄνυτον εἰπὼν ἐν ἤθει σοφώτερον εἶναι τοῦ Σωκράτους· ἐφ' ᾧ διαγανακτήσαντας τοὺς περιεστῶτας ἐκδιῶξαι αὐτόν.*

XXXIX.

Ib. 10. *Εἰ δέ ποθι θεάσαιτο γύναιον κεκοσμημένον, ἀπῄει ἐπὶ τὴν οἰκίαν αὐτῆς καὶ ἐκέλευε τὸν ἄνδρα ἐξαγαγεῖν ἵππον καὶ ὅπλα· ὥστε εἰ μὲν ἔχοι ταῦτα, ἐᾶν τρυφᾶν· (ἀμύνεσθαι γὰρ τούτοις) εἰ δὲ μὴ, περιαιρεῖν τὸν κόσμον.*

XL.

Ib. 4. μυούμενός ποτε τὰ Ὀρφικά, τοῦ ἱερέως εἰπόντος, ὅτι οἱ ταῦτα μυούμενοι πολλῶν ἀγαθῶν ἐν ᾅδου μετίσχουσι. Τί οὖν, ἔφη, οὐκ ἀποθνήσκεις;

XLI.

Ib. 5. Ἐρωτηθεὶς τί μακαριώτερον ἐν ἀνθρώποις ἔφη, εὐτυχοῦντα ἀποθανεῖν.

XLII.

Ib. 6. τοὺς βουλομένους ἀθανάτους εἶναι ἔφη δεῖν ζῆν εὐσεβῶς καὶ δικαίως.

XLIII.

Plut. de utilit. ex inimic. cap. p. 89. B. ὅθεν ὀρθῶς ὁ Ἀντισθένης εἶπεν, ὅτι τοῖς μέλλουσι σώζεσθαι ἢ φίλων δεῖ γνησίων ἢ διαπύρων ἐχθρῶν. οἱ μὲν γὰρ νουθετοῦντες τοὺς ἁμαρτάνοντας, οἱ δὲ λοιδοροῦντες ἀποτρέπουσι. v. Cic. de amicit. XXIV. 90.

XLIV.

Plut. pr. reipubl. ger. c. XV. T. XII. p. 168. Hutten. ἀλλὰ βοηθεῖ μοι τὸ τοῦ Ἀντισθένους μνημονευόμενος· θαυμάσαντος γάρ τινος, εἰ δι' ἀγορᾶς αὐτὸς φέρει τάριχον· Ἐμαυτῷ γε, εἶπεν.

XLV.

Plut. de Stoic. repugnantiis c. XIV. T. XIII. p. 356. H. καὶ μὴν οὐχ ἕτερα δεῖ βιβλία διειλῆσαι

τοῦ Χρυσίππου τὴν πρὸς αὐτὸν ἐνδεικνύμενος μάχην ἀλλ' ἐν αὐτοῖς τούτοις ποτὲ μὲν τοῦ Ἀντισθένους ἐπαινῶν προφέρεται τὸ δεῖν κτᾶσθαι νοῦν ἢ βρόχον.

XLVI.

Plut. vit. Pericl. c. I. διὸ καλῶς μὲν Ἀντισθένης ἀκούσας, ὅτι σπουδαῖός ἐστιν αὐλητὴς Ἰσμηνίας. ἀλλ' ἄνθρωπος, ἔφη, μοχθηρός· οὐ γὰρ ἂν οὕτω σπουδαῖος ἦν αὐλητής.

XLVII.

Plut. vit. Lycurg. c. XXX. Ἀντισθένης δὲ ὁ Σωκρατικὸς ἀπὸ τῆς ἐν Λεύκτροις μάχης ὁρῶν τοὺς Θηβαίους μέγα φρονοῦντας, οὐδὲν αὐτοὺς ἔφη διαφέρειν παιδαρίων ἐπὶ τῷ συγκόψαι τὸν παιδαγωγὸν γαυριώντων.

XLVIII.

Stob. Append. e Ms. Flor. ap. Gaisf. T. IV. p. 406. Ἀντισθένους· Δεῖ τοὺς μέλλοντας ἀγαθοὺς ἄνδρας γενήσεσθαι, τὸ μὲν σῶμα γυμνασίοις ἀσκεῖν, τὴν δὲ ψυχὴν παιδεύειν.

XLIX.

Ib. p. 407. Ἀντισθένης ἐρωτηθεὶς ὑπό τινος τί διδάξει τὸν υἱὸν, εἶπεν, Εἰ μὲν θεοῖς μέλλει συμβιοῦν, φιλόσοφον, εἰ δὲ ἀνθρώποις, ῥήτορα.

L.

Basilius Schol. in Greg. Naz. apud. Boissonad. in

Extr. de Mss. de la bibl. du Roi XI. 2. p. 138. καὶ οὗτος (Antisthenes) φιλόσοφος ἦν ἀλαζὼν καὶ ὑπερήφανος, ὃς ὑπό τινος ὑβριστοῦ τὸ πρόσωπον συντριβεὶς, ἐπέγραψε τῷ προσώπῳ, ὥσπερ ἐν ἀνδριάντι, τὸν παίσαντα, στηλιτεύων τὸν ὑβριστὴν, ἵνα θερμοτέραν τὴν κατηγορίαν ἐνδείξαιτο.

LI.

Theo Progymnasm. c. 5, 45. ἐκ δὲ τοῦ ἀπιθάνου, ὅτι μὴ εἰκός ἐστιν, Ἀντισθένην Ἀττικόν γε ὄντα παραγενόμενον Ἀθήνηθεν εἰς Λακεδαίμονα ἐκ τῆς γυναικωνίτιδος λέγειν εἰς τὴν ἀνδρωνῖτιν ἐπιέναι. Conf. Diog. Laert. VI. 59.

LII.

Diog. Laert. VI. 1. ἐλέγετο δ' οὐκ εἶναι ἰθαγενής. ὅθεν πρὸς τὸν ὀνειδίζοντα εἰπεῖν, καὶ ἡ μήτηρ τῶν θεῶν Φρυγία ἐστιν.

LIII.

Id. καὶ αὐτὸς δὲ τοὺς Ἀθηναίους ἐπὶ τῷ γηγενεῖς εἶναι σεμνυνομένους ἐκφαυλίζων ἔλεγε μηδὲν εἶναι κοχλιῶν καὶ ἀττελέβων εὐγενεστέρους.

INDEX.